οὑτοσὶ μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκεν.

Σκέψασθε δέ, ὧν ἕνεκα | ταῦτα λέγω· μέλλω B
γὰρ ὑμᾶς διδάξειν, ὅθεν μοι ἡ διαβολὴ
γέγονε. ταῦτα γὰρ ἐγὼ ἀκούσας ἐνε-
θυμούμην οὑτωσί· Τί ποτε λέγει ὁ

Though what the oracle meant, he was long in doubt.

21 θεός, καὶ τί ποτε αἰνίττεται; ἐγὼ γὰρ δὴ οὔτε μέγα οὔτε σμικρὸν ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν· τί οὖν ποτε λέγει φάσκων ἐμὲ σοφώτατον εἶναι; οὐ γὰρ δήπου ψεύδεταί γε· οὐ γὰρ θέμις αὐτῷ. καὶ πολὺν μὲν χρόνον ἠπόρουν, τί ποτε λέγει, ἔπειτα μόγις πάνυ ἐπὶ ζήτησιν αὐτοῦ τοιαύτην τινὰ ἐτραπόμην. ἦλθον ἐπί τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς ἐνταῦθα, |

C εἴπερ που, ἐλέγξων τὸ μαντεῖον καὶ ἀποφανῶν τῷ χρησμῷ ὅτι Οὑτοσὶ ἐμοῦ σοφώτερός ἐστι, σὺ δ' ἐμὲ ἔφησθα. διασκοπῶν οὖν τοῦτον (ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν, ἦν δέ τις τῶν πολιτικῶν, πρὸς ὃν ἐγὼ σκοπῶν τοιοῦτόν τι ἔπαθον, ὦ ἄνδρες Ἀθηναῖοι), καὶ διαλεγόμενος αὐτῷ, ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς ἀνθρώποις καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ· κἄπειτα ἐπειρώμην αὐτῷ δεικνύναι ὅτι οἴοιτο μὲν εἶναι

But on questioning men in public life he found himself wiser than they, in that he knew his ignorance, while they did not.

D σοφός, εἴη δ' οὔ. | ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην καὶ πολλοῖς τῶν παρόντων, πρὸς ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλογιζόμην ὅτι τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώτερός εἰμι· κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν καλὸν κἀγαθὸν εἰδέναι, ἀλλ' οὗτος μὲν οἴεταί τι εἰδέναι οὐκ εἰδώς, ἐγὼ δέ, ὥσπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι· ἔοικα γ' οὖν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα οὐδὲ οἴομαι εἰδέναι. ἐντεῦθεν ἐπ' ἄλλον ᾖα τῶν ἐκείνου δοκούντων σοφωτέρων εἶναι, καί

E μοι | ταὐτὰ ταῦτα ἔδοξε· καὶ ἐνταῦθα κἀκείνῳ

For pointing this out, he got their ill-will.

καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην. μετὰ 21
ταῦτ' οὖν ἤδη ἐφεξῆς ᾖα, αἰσθανό-
μενος μὲν (καὶ λυπούμενος καὶ δεδιὼς)
ὅτι ἀπηχθανόμην, ὅμως δὲ ἀναγκαῖον ἐδόκει εἶναι
τὸ τοῦ θεοῦ περὶ πλείστου ποιεῖσθαι· ἰτέον οὖν
σκοποῦντι τὸν χρησμόν, τί λέγει, ἐπὶ ἅπαντας
τούς τι δοκοῦντας εἰδέναι. καὶ νὴ τὸν κύνα,
ὦ ἄνδρες | Ἀθηναῖοι (δεῖ γὰρ πρὸς ὑμᾶς τἀληθῆ 22
λέγειν), ἦ μὴν ἐγὼ ἔπαθόν τι τοιοῦτον· οἱ μὲν
μάλιστα εὐδοκιμοῦντες ἔδοξάν μοι ὀλίγου δεῖν
τοῦ πλείστου ἐνδεεῖς εἶναι ζητοῦντι κατὰ τὸν
θεόν, ἄλλοι δὲ δοκοῦντες φαυλότεροι ἐπιεικέ-
στεροι εἶναι ἄνδρες πρὸς τὸ φρονίμως ἔχειν.
δεῖ δὴ ὑμῖν τὴν ἐμὴν πλάνην ἐπιδεῖξαι ὥσπερ πό-
νους τινὰς πονοῦντος, ἵνα <μή> μοι καὶ ἀνέλεγκτος
ἡ μαντεία γένοιτο. μετὰ γὰρ τοὺς πολιτικοὺς
ᾖα ἐπὶ τοὺς ποιητὰς τούς τε τῶν τραγῳδιῶν
καὶ τοὺς τῶν διθυράμβων καὶ τοὺς |

Poets also knew not their limitations,

ἄλλους, ὡς ἐνταῦθα ἐπ' αὐτοφώρῳ B
καταληψόμενος ἐμαυτὸν ἀμαθέστερον
ἐκείνων ὄντα. ἀναλαμβάνων οὖν αὐτῶν τὰ
ποιήματα, ἅ μοι ἐδόκει μάλιστα πεπραγματεῦ-
σθαι αὐτοῖς, διηρώτων ἂν αὐτούς, τί λέγοιεν, ἵν'
ἅμα τι καὶ μανθάνοιμι παρ' αὐτῶν. αἰσχύνομαι
οὖν ὑμῖν εἰπεῖν, ὦ ἄνδρες, τἀληθῆ· ὅμως δὲ
ῥητέον. ὡς ἔπος γὰρ εἰπεῖν ὀλίγου αὐτῶν
ἅπαντες οἱ παρόντες ἂν βέλτιον ἔλεγον περὶ
ὧν αὐτοὶ ἐπεποιήκεσαν. ἔγνων οὖν καὶ περὶ
τῶν ποιητῶν ἐν ὀλίγῳ τοῦτο, ὅτι οὐ σοφίᾳ |
ποιοῖεν ἃ ποιοῖεν, ἀλλὰ φύσει τινὶ καὶ ἐνθου- C
σιάζοντες, ὥσπερ οἱ θεομάντεις καὶ οἱ χρη-

22 σμῳδοί· καὶ γὰρ οὗτοι λέγουσι μὲν πολλὰ καὶ καλά, ἴσασιν δὲ οὐδὲν ὧν λέγουσι. τοιοῦτόν τί μοι ἐφάνησαν πάθος καὶ οἱ ποιηταὶ πεπονθότες· καὶ ἅμα ᾐσθόμην αὐτῶν διὰ τὴν ποίησιν οἰομένων καὶ τἆλλα σοφωτάτων εἶναι ἀνθρώπων, ἃ οὐκ ἦσαν. ἀπῇα οὖν καὶ ἐντεῦθεν τῷ αὐτῷ οἰόμενος περιγεγονέναι ᾧπερ καὶ τῶν πολιτικῶν. Τελευτῶν οὖν ἐπὶ τοὺς χειροτέχνας ᾖα· ἐμαυτῷ

D nor yet did good artisans.

γὰρ ξυνῄδη οὐδὲν ἐπισταμένῳ, | ὡς ἔπος εἰπεῖν, τούτους δέ γ' ᾔδη ὅτι εὑρήσοιμι πολλὰ καὶ καλὰ ἐπισταμένους. καὶ τούτου μὲν οὐκ ἐψεύσθην, ἀλλ' ἠπίσταντο ἃ ἐγὼ οὐκ ἠπιστάμην καί μου ταύτῃ σοφώτεροι ἦσαν. ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅπερ καὶ οἱ ποιηταί, καὶ οἱ ἀγαθοὶ δημιουργοί· διὰ τὸ τὴν τέχνην καλῶς ἐξεργάζεσθαι ἕκαστος ἠξίου καὶ τἆλλα τὰ μέγιστα σοφώτατος εἶναι, καὶ αὐτῶν αὕτη ἡ πλημμέλεια ἐκείνην τὴν σοφίαν ἀπέκρυπτεν·

E ὥστε με ἐμαυτὸν ἀνερωτᾶν | ὑπὲρ τοῦ χρησμοῦ, πότερα δεξαίμην ἂν οὕτως ὥσπερ ἔχω ἔχειν, μήτε τι σοφὸς ὢν τὴν ἐκείνων σοφίαν μήτε ἀμαθὴς τὴν ἀμαθίαν, ἢ ἀμφότερα ἃ ἐκεῖνοι ἔχουσιν ἔχειν. ἀπεκρινάμην οὖν ἐμαυτῷ καὶ τῷ χρησμῷ ὅτι μοι λυσιτελοῖ ὥσπερ ἔχω ἔχειν.

Hence their common hatred of this "wise man," who spends his life in confuting

Ἐκ ταυτησὶ δὴ τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι

23 γεγόνασι | καὶ οἷαι χαλεπώταται καὶ βαρύταται, ὥστε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγονέναι, ὄνομα δὲ τοῦτο

them. (Hence too his own poverty.)

λέγεσθαι, σοφὸς εἶναι. οἴονται γάρ 23
με ἑκάστοτε οἱ παρόντες ταῦτα αὐτὸν εἶναι σοφόν, ἃ ἂν ἄλλον ἐξελέγξω· τὸ δὲ κινδυνεύει, ὦ ἄνδρες, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι, καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶν καὶ οὐδενός. καὶ φαίνεται τοῦτον λέγειν τὸν Σωκράτη, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα ποιούμενος, | ὥσπερ ἂν εἰ εἴποι ὅτι Οὗτος ὑμῶν, ὦ ἄνθρω- B
ποι, σοφώτατός ἐστιν, ὅστις ὥσπερ Σωκράτης ἔγνωκεν ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν. ταῦτ᾽ οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιιὼν ζητῶ καὶ ἐρευνῶ κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι ὅτι οὐκ ἔστι σοφός. καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου οὔτε τῶν οἰκείων, ἀλλ᾽ ἐν | πενίᾳ μυρίᾳ εἰμὶ C
διὰ τὴν τοῦ θεοῦ λατρείαν.

And the youth who imitated his confutations were thought to be "corrupted."

Πρὸς δὲ τούτοις οἱ νέοι μοι ἐπακολουθοῦντες, οἷς μάλιστα σχολή ἐστιν, οἱ τῶν πλουσιωτάτων, αὐτόματοι χαίρουσιν ἀκούοντες ἐξεταζομένων τῶν ἀνθρώπων, καὶ αὐτοὶ πολλάκις ἐμὲ μιμοῦνται, εἶτα ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν· κἄπειτα, οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν εἰδέναι τι ἀνθρώπων, εἰδότων δὲ ὀλίγα ἢ οὐδέν. ἐντεῦθεν οὖν οἱ ὑπ᾽ αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, ἀλλ᾽ οὐχ αὑτοῖς,

23 καὶ λέγουσιν ὡς | Σωκράτης τίς ἐστι μιαρώ-
D τατος καὶ διαφθείρει τοὺς νέους· καὶ ἐπειδάν
τις αὐτοὺς ἐρωτᾷ, ὅ τι ποιῶν καὶ ὅ τι διδάσκων,
ἔχουσι μὲν οὐδὲν εἰπεῖν, ἀλλ' ἀγνοοῦσιν, ἵνα
δὲ μὴ δοκῶσιν ἀπορεῖν, τὰ κατὰ πάντων τῶν
φιλοσοφούντων πρόχειρα ταῦτα λέγουσιν, ὅτι
τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς, καὶ θεοὺς μὴ
νομίζειν, καὶ τὸν ἥττω λόγον κρείττω ποιεῖν.
τὰ γὰρ ἀληθῆ, οἴομαι, οὐκ ἂν ἐθέλοιεν λέγειν,
ὅτι κατάδηλοι γίγνονται προσποιούμενοι μὲν
εἰδέναι, εἰδότες δὲ οὐδέν. ἅτε οὖν, οἶμαι,
E φιλότιμοι | ὄντες καὶ σφοδροὶ καὶ πολλοί, καὶ
ξυντεταμένως καὶ πιθανῶς λέγοντες περὶ ἐμοῦ,
ἐμπεπλήκασιν ὑμῶν τὰ ὦτα καὶ πάλαι καὶ
σφοδρῶς διαβάλλοντες. ἐκ τούτων καὶ Μέλητός
μοι ἐπέθετο καὶ Ἄνυτος καὶ Λύκων, Μέλητος μὲν
ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος, Ἄνυτος δὲ ὑπὲρ
τῶν δημιουργῶν [καὶ τῶν πολιτικῶν], Λύκων |
24 δὲ ὑπὲρ τῶν ῥητόρων· ὥστε, ὅπερ ἀρχόμενος ἐγὼ
ἔλεγον, θαυμάζοιμ' ἄν, εἰ οἷός τ' εἴην
ἐγὼ ὑμῶν ταύτην τὴν διαβολὴν ἐξελέ-
σθαι ἐν οὕτως ὀλίγῳ χρόνῳ οὕτω
πολλὴν γεγονυῖαν. ταῦτ' ἔστιν ὑμῖν,
ὦ ἄνδρες Ἀθηναῖοι, τἀληθῆ, καὶ ὑμᾶς οὔτε μέγα
οὔτε μικρὸν ἀποκρυψάμενος ἐγὼ λέγω οὐδ' ὑπο-
στειλάμενος. καίτοι οἶδα σχεδὸν ὅτι τούτοις
αὐτοῖς ἀπεχθάνομαι· ὃ καὶ τεκμήριον ὅτι ἀληθῆ
λέγω καὶ ὅτι αὕτη ἐστὶν ἡ διαβολὴ ἡ ἐμὴ καὶ
τὰ αἴτια ταῦτά ἐστιν. καὶ ἐάντε νῦν ἐάντε
B | αὖθις ζητήσητε ταῦτα, οὕτως εὑρήσετε.

This old prejudice it is that I now face and can hardly hope to remove.

Περὶ μὲν οὖν ὧν οἱ πρῶτοί μου κατήγοροι

κατηγόρουν, αὕτη ἐστὶν ἱκανὴ ἀπο- 24
λογία πρὸς ὑμᾶς· πρὸς δὲ Μέλητον τὸν ἀγαθόν τε καὶ φιλόπολιν, ὥς φησι, καὶ τοὺς ὑστέρους μετὰ ταῦτα πειράσομαι ἀπολογεῖσθαι. αὖθις γὰρ δή, ὥσπερ ἑτέρων τούτων ὄντων κατηγόρων, λάβωμεν αὖ τὴν τούτων ἀντωμοσίαν. ἔχει δέ πως ὧδε· Σωκράτη φησὶν ἀδικεῖν τούς τε νέους διαφθείροντα καὶ θεοὺς οὓς ἡ πόλις νομίζει οὐ νομίζοντα, ἕτερα δὲ δαιμόνια | καινά. τὸ μὲν C
δὴ ἔγκλημα τοιοῦτόν ἐστιν· τούτου δὲ τοῦ ἐγκλήματος ἓν ἕκαστον ἐξετάσωμεν. φησὶ γὰρ δὴ τοὺς νέους ἀδικεῖν με διαφθείροντα. ἐγὼ δέ γε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικεῖν φημι Μέλητον, ὅτι σπουδῇ χαριεντίζεται, ῥᾳδίως εἰς ἀγῶνα καθιστὰς ἀνθρώπους, περὶ πραγμάτων προσποιούμενος σπουδάζειν καὶ κήδεσθαι, ὧν οὐδὲν τούτῳ πώποτε ἐμέλησεν. ὡς δὲ τοῦτο οὕτως ἔχει, πειράσομαι καὶ ὑμῖν ἐπιδεῖξαι.

But now, let us examine in detail the formal charge of this good Meletus. "He corrupts the youth," and "he introduces new divinities."

Καί μοι δεῦρο, ὦ Μέλητε, εἰπέ· ἄλλο τι ἢ περὶ πολλοῦ ποιεῖ, | ὅπως ὡς βέλ- D
τιστοι οἱ νεώτεροι ἔσονται; Ἔγωγε. Ἴθι δή νυν εἰπὲ τούτοις, τίς αὐτοὺς βελτίους ποιεῖ; δῆλον γὰρ ὅτι οἶσθα, μέλον γέ σοι. τὸν μὲν γὰρ διαφθείροντα ἐξευρών, ὡς φῄς, ἐμὲ εἰσάγεις τουτοισὶ καὶ κατηγορεῖς· τὸν δὲ δὴ βελτίους ποιοῦντα ἴθι εἰπὲ καὶ μήνυσον αὐτοῖς, τίς ἐστιν. ὁρᾷς, ὦ Μέλητε, ὅτι σιγᾷς καὶ οὐκ ἔχεις εἰπεῖν; καίτοι οὐκ αἰσχρόν σοι δοκεῖ

(On the first count, Meletus, when cross-examined, is reduced to an absurdity;

24 εἶναι καὶ ἱκανὸν τεκμήριον οὗ δὴ ἐγὼ λέγω,
ὅτι σοι οὐδὲν μεμέληκεν; ἀλλ᾽ εἰπέ, ὠγαθέ,
τίς αὐτοὺς ἀμείνους ποιεῖ; Οἱ νόμοι. Ἀλλ᾽
E οὐ | τοῦτο ἐρωτῶ, ὦ βέλτιστε, ἀλλὰ τίς ἄνθρω-
πος, ὅστις πρῶτον καὶ αὐτὸ τοῦτο οἶδε, τοὺς
νόμους. Οὗτοι, ὦ Σώκρατες, οἱ δικασταί.
Πῶς λέγεις, ὦ Μέλητε; οἵδε τοὺς νέους παι-
δεύειν οἷοίτε εἰσὶ καὶ βελτιους ποιοῦσιν;
Μάλιστα. Πότερον ἅπαντες, ἢ οἱ μὲν αὐτῶν,
οἱ δ᾽ οὔ; Ἅπαντες. Εὖ γε νὴ τὴν Ἥραν
λέγεις, καὶ πολλὴν ἀφθονίαν τῶν ὠφελούντων.
τί δὲ δή; οἵδε οἱ ἀκροαταὶ βελτίους ποιοῦσιν
25 | ἢ οὔ; Καὶ οὗτοι. Τί δὲ οἱ βουλευταί;
Καὶ οἱ βουλευταί. Ἀλλ᾽ ἄρα, ὦ Μέλητε, μὴ
οἱ ἐν τῇ ἐκκλησίᾳ, οἱ ἐκκλησιασταί, διαφθεί-
ρουσι τοὺς νεωτέρους; ἢ κἀκεῖνοι βελτίους
ποιοῦσιν ἅπαντες; Κἀκεῖνοι. Πάντες ἄρα, ὡς
ἔοικεν, Ἀθηναῖοι καλοὺς κἀγαθοὺς ποιοῦσι
πλὴν ἐμοῦ, ἐγὼ δὲ μόνος διαφθείρω. οὕτω
λέγεις; Πάνυ σφόδρα ταῦτα λέγω. Πολλήν γέ
μου κατέγνωκας δυστυχίαν. καί μοι ἀπόκριναι·
ἦ καὶ περὶ ἵππους οὕτω σοι δοκεῖ ἔχειν—οἱ
B μὲν βελτίους | ποιοῦντες αὐτοὺς πάντες ἄνθρωποι
εἶναι, εἷς δέ τις ὁ διαφθείρων; ἢ (τοὐναντίον
τούτου πᾶν) εἷς μέν τις ὁ βελτίους οἷόστ᾽ ὢν
ποιεῖν ἢ πάνυ ὀλίγοι (οἱ ἱππικοί), οἱ δὲ πολλοὶ
ἐάνπερ ξυνῶσι καὶ χρῶνται ἵπποις, διαφθείρου-
σιν; οὐχ οὕτως ἔχει, ὦ Μέλητε, καὶ περὶ
ἵππων καὶ τῶν ἄλλων ἁπάντων ζῴων; πάντως
δήπου, ἐάντε σὺ καὶ Ἄνυτος οὐ φῆτε ἐάντε
φῆτε· πολλὴ γὰρ ἄν τις εὐδαιμονία εἴη περὶ

τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, 25
οἱ δ' ἄλλοι ὠφελοῦσιν. ἀλλὰ | γάρ, ὦ Μέλητε, C
ἱκανῶς ἐπιδείκνυσαι ὅτι οὐδεπώποτε ἐφρόντισας
τῶν νέων, καὶ σαφῶς ἀποφαίνεις τὴν σαυτοῦ
ἀμέλειαν, ὅτι οὐδέν σοι μεμέληκεν περὶ ὧν
ἐμὲ εἰσάγεις.

Ἔτι δὲ ἡμῖν εἰπέ, ὦ πρὸς Διὸς Μέλητε,
πότερον ἔστιν οἰκεῖν ἄμεινον ἐν πολίταις χρη-
στοῖς ἢ πονηροῖς; ὦταν, ἀπόκριναι· οὐδὲν γάρ
τοι χαλεπὸν ἐρωτῶ. οὐχ οἱ μὲν πονηροὶ
κακόν τι ἐργάζονται τοὺς ἀεὶ ἐγγυτάτω ἑαυτῶν
ὄντας, οἱ δ' ἀγαθοὶ ἀγαθόν τι; Πάνυ γε.
Ἔστιν οὖν ὅστις βούλεται ὑπὸ τῶν ξυνόντων
| βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; ἀποκρίνου, D
ὦ ἀγαθέ· καὶ γὰρ ὁ νόμος κελεύει ἀποκρίνε-
σθαι. ἔσθ' ὅστις βούλεται βλάπτεσθαι; Οὐ
δῆτα. Φέρε δή, πότερον ἐμὲ εἰσάγεις δεῦρο
ὡς διαφθείροντα τοὺς νεωτέρους καὶ πονηροτέ-
ρους ποιοῦντα ἑκόντα ἢ ἄκοντα; Ἑκόντα
ἔγωγε. Τί δῆτα, ὦ Μέλητε; τοσοῦτον σὺ ἐμοῦ
σοφώτερος εἶ τηλικούτου ὄντος τηλικόσδε ὤν,
ὥστε σὺ μὲν ἔγνωκας ὅτι οἱ μὲν κακοὶ κακόν τι
ἐργάζονται ἀεὶ τοὺς μάλιστα πλησίον | ἑαυτῶν, E
οἱ δὲ ἀγαθοὶ ἀγαθόν· ἐγὼ δὲ δὴ εἰς τοσοῦτον
ἀμαθίας ἥκω, ὥστε καὶ τοῦτ' ἀγνοῶ, ὅτι, ἐάν
τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων, κινδυ-
νεύσω κακόν τι λαβεῖν ἀπ' αὐτοῦ, ὥστε τοῦτο
<τὸ> τοσοῦτον κακὸν ἑκὼν ποιῶ, ὡς φῂς σύ;
ταῦτα ἐγώ σοι οὐ πείθομαι, ὦ Μέλητε, οἶμαι
δὲ οὐδὲ ἄλλον ἀνθρώπων οὐδένα· ἀλλ' ἢ οὐ
διαφθείρω, ἤ, εἰ διαφθείρω, | ἄκων· ὥστε σύ 26

26 γε κατ' ἀμφότερα ψεύδει. εἰ δὲ ἄκων διαφθείρω, τῶν τοιούτων [καὶ ἀκουσίων] ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰσάγειν ἐστίν, ἀλλὰ ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν· δῆλον γὰρ ὅτι, ἐὰν μάθω, παύσομαι ὅ γε ἄκων ποιῶ. σὺ δὲ ξυγγενέσθαι μέν μοι καὶ διδάξαι ἔφυγες καὶ οὐκ ἠθέλησας, δεῦρο δὲ εἰσάγεις, οἷ νόμος ἐστὶν εἰσάγειν τοὺς κολάσεως δεομένους, ἀλλ' οὐ μαθήσεως.

Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μὲν δῆλον ἤδη ἐστίν, ὃ ἐγὼ ἔλεγον, ὅτι Μελήτῳ |
B τούτων οὔτε μέγα οὔτε μικρὸν πώποτε ἐμέλησεν. ὅμως δὲ δὴ λέγε ἡμῖν, πῶς με φῄς διαφθείρειν, ὦ Μέλητε, τοὺς νεωτέρους; ἢ δῆλον δὴ ὅτι κατὰ τὴν γραφήν, ἣν ἐγράψω, θεοὺς διδάσκοντα μὴ νομίζειν οὓς ἡ πόλις νομίζει, ἕτερα δὲ δαιμόνια καινά; οὐ ταῦτα λέγεις, ὅτι διδάσκων διαφθείρω; Πάνυ μὲν οὖν σφόδρα ταῦτα λέγω. Πρὸς αὐτῶν τοίνυν, ὦ Μέλητε, τούτων τῶν θεῶν, ὧν νῦν ὁ λόγος ἐστίν, εἰπὲ ἔτι σαφέστερον καὶ ἐμοὶ καὶ τοῖς ἀνδράσιν τούτοις.

C ἐγὼ γὰρ οὐ | δύναμαι μαθεῖν, πότερον λέγεις διδάσκειν με νομίζειν εἶναί τινας θεοὺς (καὶ αὐτὸς ἄρα νομίζω εἶναι θεούς, καὶ οὐκ εἰμὶ τὸ παράπαν ἄθεος οὐδὲ ταύτῃ ἀδικῶ, οὐ μέντοι οὕσπερ γε ἡ πόλις, ἀλλὰ ἑτέρους, καὶ τοῦτ' ἔστιν ὅ μοι ἐγκαλεῖς, ὅτι ἑτέρους), ἢ παντάπασί με φῄς οὔτε αὐτὸν νομίζειν θεοὺς τούς τε ἄλλους ταῦτα διδάσκειν. Ταῦτα λέγω, ὡς τὸ παράπαν οὐ νομίζεις θεούς. Ὦ

and in the matter of the second, contradicts himself; for he now declares Socrates to be an atheist).

θαυμάσιε Μέλητε, ἵνα τί ταῦτα λέγεις; οὐδὲ 26
| ἥλιον οὐδὲ σελήνην ἄρα νομίζω θεοὺς εἶναι, D
ὥσπερ οἱ ἄλλοι ἄνθρωποι; Μὰ Δί', ὦ ἄνδρες
δικασταί, ἐπεὶ τὸν μὲν ἥλιον λίθον φησὶν εἶναι,
τὴν δὲ σελήνην γῆν. Ἀναξαγόρου οἴει κατ-
ηγορεῖν, ὦ φίλε Μέλητε, καὶ οὕτω καταφρονεῖς
τῶνδε καὶ οἴει αὐτοὺς ἀπείρους γραμμάτων
εἶναι, ὥστε οὐκ εἰδέναι, ὅτι τὰ Ἀναξαγόρου
βιβλία τοῦ Κλαζομενίου γέμει τούτων τῶν
λόγων; καὶ δὴ καὶ οἱ νέοι ταῦτα παρ' ἐμοῦ
μανθάνουσιν, ἃ ἔξεστιν ἐνίοτε, εἰ πάνυ πολλοῦ,
δραχμῆς | ἐκ τῆς ὀρχήστρας πριαμένοις Σωκρά- E
τους καταγελᾶν, ἐὰν προσποιῆται ἑαυτοῦ εἶναι,
ἄλλως τε καὶ οὕτως ἄτοπα ὄντα; ἀλλ', ὦ
πρὸς Διός, οὑτωσί σοι δοκῶ οὐδένα νομίζειν
θεὸν εἶναι; Οὐ μέντοι μὰ Δία οὐδ' ὁπωστιοῦν.
Ἄπιστός γ' εἶ, ὦ Μέλητε, καὶ ταῦτα μέντοι,
ὡς ἐμοὶ δοκεῖς, σαυτῷ. ἐμοὶ γὰρ δοκεῖ οὑτοσί,
ὦ ἄνδρες Ἀθηναῖοι, πάνυ εἶναι ὑβριστὴς καὶ
ἀκόλαστος, καὶ ἀτεχνῶς τὴν γραφὴν ταύτην
ὕβρει τινὶ καὶ ἀκολασίᾳ καὶ νεότητι γράψασθαι.
ἔοικεν γὰρ ὥσπερ | αἴνιγμα ξυντιθέντι δια- 27
πειρωμένῳ· Ἆρα γνώσεται Σωκράτης ὁ σοφὸς
δὴ ἐμοῦ χαριεντιζομένου καὶ ἐναντί' ἐμαυτῷ
λέγοντος, ἢ ἐξαπατήσω αὐτὸν καὶ τοὺς ἄλλους
τοὺς ἀκούοντας; οὗτος γὰρ ἐμοὶ φαίνεται τὰ
ἐναντία λέγειν αὐτὸς ἑαυτῷ ἐν τῇ γραφῇ, ὥσπερ
ἂν εἰ εἴποι· ἀδικεῖ Σωκράτης θεοὺς οὐ νομίζων,
ἀλλὰ θεοὺς νομίζων. καίτοι τοῦτό ἐστι παί-
ζοντος.

Ξυνεπισκέψασθε δή, ὦ ἄνδρες, ᾗ μοι φαίνεται

27 ταῦτα λέγειν· σὺ δὲ ἡμῖν ἀπόκριναι, ὦ Μέλητε· ὑμεῖς δέ, ὅπερ κατ᾽ ἀρχὰς ὑμᾶς παρῃτησάμην, | B μέμνησθέ μοι μὴ θορυβεῖν, ἐὰν ἐν τῷ εἰωθότι τρόπῳ τοὺς λόγους ποιῶμαι. ἔστιν ὅστις ἀνθρώπων, ὦ Μέλητε, ἀνθρώπεια μὲν νομίζει πράγματ᾽ εἶναι, ἀνθρώπους δὲ οὐ νομίζει; ἀποκρινέσθω, ὦ ἄνδρες, καὶ μὴ ἄλλα καὶ ἄλλα θορυβείτω· ἔσθ᾽ ὅστις ἵππους μὲν οὐ νομίζει, ἱππικὰ δὲ πράγματα; ἢ αὐλητὰς μὲν οὐ νομίζει εἶναι, αὐλητικὰ δὲ πράγματα; οὐκ ἔστιν, ὦ ἄριστε ἀνδρῶν· εἰ μὴ σὺ βούλει ἀποκρίνασθαι, ἐγώ σοι λέγω καὶ τοῖς ἄλλοις τουτοισί. ἀλλὰ C τὸ ἐπὶ τούτῳ γε ἀπόκριναι· ἔσθ᾽ ὅστις | δαιμόνια μὲν νομίζει πράγματ᾽ εἶναι, δαίμονας δὲ οὐ νομίζει; Οὐκ ἔστιν. Ὡς ὤνησας, ὅτι μόγις ἀπεκρίνω ὑπὸ τουτωνὶ ἀναγκαζόμενος. οὐκοῦν δαιμόνια μὲν φῄς με καὶ νομίζειν καὶ διδάσκειν—εἴτ᾽ οὖν καινὰ εἴτε παλαιά, ἀλλ᾽ οὖν δαιμόνιά γε νομίζω κατὰ τὸν σὸν λόγον, καὶ ταῦτα καὶ διωμόσω ἐν τῇ ἀντιγραφῇ· εἰ δὲ δαιμόνια νομίζω, καὶ δαίμονας δήπου πολλὴ ἀνάγκη νομίζειν μέ ἐστιν. οὐχ οὕτως ἔχει; ἔχει δή· τίθημι γάρ σε ὁμολογοῦντα, ἐπειδὴ οὐκ ἀποκρίνει. D τοὺς δὲ δαίμονας οὐχὶ ἤτοι θεούς | γε ἡγούμεθα ἢ θεῶν παῖδας; φῂς ἢ οὔ; Πάνυ γε. Οὐκοῦν εἴπερ δαίμονας ἡγοῦμαι, ὡς σὺ φῄς, εἰ μὲν θεοί τινές εἰσιν οἱ δαίμονες, τοῦτ᾽ ἂν εἴη ὃ ἐγώ φημί σε αἰνίττεσθαι καὶ χαριεντίζεσθαι, θεοὺς οὐχ ἡγούμενον φάναι ἐμὲ θεοὺς αὖ ἡγεῖσθαι πάλιν, ἐπειδήπερ γε δαίμονας ἡγοῦμαι· εἰ δ᾽ αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσιν (νόθοι τινὲς ἢ ἐκ

νυμφῶν ἢ ἔκ τινων ἄλλων, ὧν δὴ καὶ λέγονται), 27
τίς ἂν ἀνθρώπων θεῶν μὲν παῖδας ἡγοῖτο εἶναι,
θεοὺς δὲ μή; ὁμοίως γὰρ ἂν ἄτοπον εἴη, ὥσπερ
ἂν εἴ τις ἵππων μὲν | παῖδας ἡγοῖτο ἢ καὶ ὄνων E
[τοὺς ἡμιόνους], ἵππους δὲ καὶ ὄνους μὴ ἡγοῖτο
εἶναι. ἀλλ', ὦ Μέλητε, οὐκ ἔστιν ὅπως σὺ
ταῦτα οὐχὶ ἀποπειρώμενος ἡμῶν ἐγράψω τὴν
γραφὴν ταύτην, ἢ ἀπορῶν ὅ τι ἐγκαλοῖς ἐμοὶ
ἀληθὲς ἀδίκημα· ὅπως δὲ σύ τινα πείθοις ἂν καὶ
σμικρὸν νοῦν ἔχοντα ἀνθρώπων, ὡς [οὐ] τοῦ
αὐτοῦ ἐστιν καὶ δαιμόνια καὶ θεῖα ἡγεῖσθαι, καὶ
αὖ τοῦ αὐτοῦ μήτε δαίμονας μήτε θεοὺς μήτε |
ἥρωας, οὐδεμία μηχανή ἐστιν. 28

Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μὲν ἐγὼ
οὐκ ἀδικῶ κατὰ τὴν Μελήτου γραφήν,
οὐ πολλῆς μοι δοκεῖ εἶναι ἀπολογίας,
ἀλλὰ ἱκανὰ καὶ ταῦτα· ὃ δὲ καὶ ἐν
τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι πολλή μοι
ἀπέχθεια γέγονεν καὶ πρὸς πολλούς,
εὖ ἴστε ὅτι ἀληθές ἐστιν. καὶ τοῦτ' ἔστιν ὃ ἐμὲ
αἱρήσει, ἐάνπερ αἱρῇ, οὐ Μέλητος οὐδὲ Ἄνυτος,
ἀλλ' ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος. ἃ
δὴ πολλοὺς καὶ ἄλλους καὶ ἀγαθοὺς ἄνδρας
ᾕρηκεν, οἶμαι δὲ καὶ αἱρήσειν· οὐδὲν | δὲ δεινόν, B
μὴ ἐν ἐμοὶ στῇ.

Enough of this farce. Not in it, but in the popular prejudice lies my danger, as I always knew.

Ἴσως δ' ἂν οὖν εἴποι τις· Εἶτ' οὐκ αἰσχύνει,
ὦ Σώκρατες, τοιοῦτον ἐπιτήδευμα ἐπιτηδεύσας,
ἐξ οὗ κινδυνεύεις νυνὶ ἀποθανεῖν; ἐγὼ δὲ τούτῳ
ἂν δίκαιον λόγον ἀντείποιμι, ὅτι Οὐ καλῶς
λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυ-
νον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι

But a man recks of duty, not of danger.

28 ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελός ἐστιν, ἀλλ᾽ οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅταν πράττῃ, πότερα δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ. φαῦλοι γὰρ ἂν τῷ C γε σῷ λόγῳ εἶεν τῶν | ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευτήκασιν, οἵ τε ἄλλοι καὶ ὁ τῆς Θέτιδος ὑός, ὃς τοσοῦτον τοῦ κινδύνου κατεφρόνησεν παρὰ τὸ αἰσχρόν τι ὑπομεῖναι, ὥστε ἐπειδὴ εἶπεν ἡ μήτηρ αὐτῷ προθυμουμένῳ Ἕκτορα ἀποκτεῖναι, θεὸς οὖσα, οὑτωσί πως, ὡς ἐγὼ οἶμαι· Ὦ παῖ, εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον καὶ Ἕκτορα ἀποκτενεῖς, αὐτὸς ἀποθανεῖ· αὐτίκα γάρ τοι, φησί, μεθ᾽ Ἕκτορα πότμος ἑτοῖμος· ὁ δὲ ταῦτα ἀκούσας τοῦ μὲν θανάτου καὶ τοῦ κινδύνου ὠλιγώρησε, πολὺ δὲ D μᾶλλον | δείσας τὸ ζῆν κακὸς ὢν καὶ τοῖς φίλοις μὴ τιμωρεῖν, αὐτίκα, φησί, τεθναίην δίκην ἐπιθεὶς τῷ ἀδικοῦντι, ἵνα μὴ ἐνθάδε μένω καταγέλαστος παρὰ νηυσὶ κορωνίσιν ἄχθος ἀρούρης. μὴ αὐτὸν οἴει φροντίσαι θανάτου καὶ κινδύνου; οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ· οὗ ἄν τις ἑαυτὸν τάξῃ ἡγησάμενος βέλτιστον εἶναι ἢ ὑπ᾽ ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον μήτε θάνατον μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ.

E As in battles, so in life, I stand where posted. Why fear death? Who knows it is an evil?

Ἐγὼ οὖν δεινὰ ἂν εἴην εἰργασμένος, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ, ὅτε μέν με | οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, καὶ ἐν Ποτειδαίᾳ καὶ ἐν Ἀμφιπόλει καὶ ἐπὶ Δηλίῳ, τότε μὲν οὗ ἐκεῖνοι

ἔταττον ἔμενον ὥσπερ καὶ ἄλλος τις καὶ 28 ἐκινδύνευον ἀποθανεῖν, τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὲ φοβηθεὶς ἢ θάνατον ἢ ἄλλο | ὁτιοῦν πρᾶγμα λίποιμι τὴν τάξιν. δεινὸν 29 τἂν εἴη, καὶ ὡς ἀληθῶς τότ' ἄν με δικαίως εἰσάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι ἀπειθῶν τῇ μαντείᾳ καὶ δεδιὼς θάνατον καὶ οἰόμενος σοφὸς εἶναι οὐκ ὤν. τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν, δεδίασι δ' ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ | ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, B ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; ἐγὼ δ', ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου οὕτω καὶ οἴομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι, καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. πρὸ οὖν τῶν κακῶν, ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει οὐδέποτε φοβήσομαι οὐδὲ φεύξομαι· ὥστε οὐδ' εἴ με νῦν ὑμεῖς ἀφίετε Ἀνύτῳ | ἀπιστήσαντες, ὃς ἔφη ἢ C τὴν ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρο εἰσελθεῖν ἤ, ἐπειδὴ εἰσῆλθον, οὐχ οἷόν τ' εἶναι τὸ μὴ ἀποκτεῖναί με,

But disobedience is indeed evil. Hence, slay me or not, I will always obey God and confute ignorance.

29 λέγων πρὸς ὑμᾶς ὡς, εἰ διαφευξοίμην, ἤδη ἂν
ὑμῶν οἱ ὑεῖς, ἐπιτηδεύοντες ἃ Σωκράτης διδά-
σκει, πάντες παντάπασι διαφθαρήσονται,—εἴ
μοι πρὸς ταῦτα εἴποιτε· Ὦ Σώκρατες, νῦν μὲν
Ἀνύτῳ οὐ πεισόμεθα, ἀλλ' ἀφίεμέν σε, ἐπὶ
τούτῳ μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν ταύτῃ τῇ
ζητήσει διατρίβειν μηδὲ φιλοσοφεῖν· ἐὰν δὲ
D ἁλῷς ἔτι τοῦτο πράττων, ἀποθανεῖ· εἰ οὖν | με,
ὅπερ εἶπον, ἐπὶ τούτοις ἀφίοιτε, εἴποιμ' ἂν ὑμῖν
ὅτι Ἐγὼ ὑμᾶς, ἄνδρες Ἀθηναῖοι, ἀσπάζομαι μὲν
καὶ φιλῶ, πείσομαι δὲ μᾶλλον τῷ θεῷ ἢ ὑμῖν,
καὶ ἕωσπερ ἂν ἐμπνέω καὶ οἷόστε ὦ, οὐ μὴ
παύσωμαι φιλοσοφῶν καὶ ὑμῖν παρακελευόμενός
τε καὶ ἐνδεικνύμενος ὅτῳ ἂν ἀεὶ ἐντυγχάνω
ὑμῶν, λέγων οἷάπερ εἴωθα, ὅτι Ὦ ἄριστε
ἀνδρῶν, Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης
καὶ εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν,
χρημάτων μὲν οὐκ αἰσχύνει ἐπιμελούμενος,
E ὅπως σοι ἔσται ὡς πλεῖστα, καὶ δόξης | καὶ
τιμῆς, φρονήσεως δὲ καὶ ἀληθείας καὶ τῆς
ψυχῆς, ὅπως ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελεῖ
οὐδὲ φροντίζεις; καὶ ἐάν τις ὑμῶν ἀμφισβητῇ
καὶ φῇ ἐπιμελεῖσθαι, οὐκ εὐθὺς ἀφήσω αὐτὸν
οὐδ' ἄπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν καὶ ἐξετάσω
καὶ ἐλέγξω, καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι
ἀρετήν, φάναι δέ, ὀνειδιῶ ὅτι τὰ πλείστου ἄξια
30 περὶ | ἐλαχίστου ποιεῖται, τὰ δὲ φαυλότερα περὶ
πλείονος. ταῦτα καὶ νεωτέρῳ καὶ πρεσβυτέρῳ,
ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω, καὶ ξένῳ καὶ ἀστῷ,
μᾶλλον δὲ τοῖς ἀστοῖς, ὅσῳ μου ἐγγυτέρω ἐστὲ
γένει. ταῦτα γὰρ κελεύει ὁ θεός, εὖ ἴστε, καὶ ἐγὼ

οἴομαι οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι 30
ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν. οὐδὲν γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπιμελεῖσθαι μήτε χρημάτων πρότερον μηδὲ οὕτω | σφόδρα ὡς τῆς ψυχῆς, B
ὅπως ὡς ἀρίστη ἔσται, λέγων· Οὐκ ἐκ χρημάτων ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τὰ ἄλλα ἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα καὶ ἰδίᾳ καὶ δημοσίᾳ. εἰ μὲν οὖν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ταῦτ' ἂν εἴη βλαβερά· εἰ δέ τίς μέ φησιν ἄλλα λέγειν ἢ ταῦτα, οὐδὲν λέγει. πρὸς ταῦτα, φαίην ἄν, ὦ Ἀθηναῖοι, ἢ πείθεσθε Ἀνύτῳ ἢ μή, καὶ ἢ ἀφίετε ἢ μὴ ἀφίετε, ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα, οὐδ' εἰ μέλλω | πολλάκις τεθνάναι. C

Slay me—and you hurt yourselves. For I am your better conscience—

Μὴ θορυβεῖτε, ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἐμμείνατέ μοι οἷς ἐδεήθην ὑμῶν, μὴ θορυβεῖν ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν· καὶ γάρ, ὡς ἐγὼ οἶμαι, ὀνήσεσθε ἀκούοντες. μέλλω γὰρ οὖν ἄττα ὑμῖν ἐρεῖν καὶ ἄλλα, ἐφ' οἷς ἴσως βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα, οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς. ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλητος οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιτο· οὐ γὰρ οἴομαι θεμιτὸν | εἶναι ἀμείνονι D
ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτείνειε μεντἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμώσειεν· ἀλλὰ ταῦτα οὗτος μὲν ἴσως οἴεται καὶ ἄλλος τίς

30 που μεγάλα κακά, ἐγὼ δ' οὐκ οἴομαι, ἀλλὰ
πολὺ μᾶλλον ποιεῖν ἃ οὗτος νυνὶ ποιεῖ, ἄνδρα
ἀδίκως ἐπιχειρεῖν ἀποκτιννύναι. νῦν οὖν, ὦ
ἄνδρες Ἀθηναῖοι, πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ
ἀπολογεῖσθαι, ὥς τις ἂν οἴοιτο, ἀλλὰ ὑπὲρ
ὑμῶν, μή τι ἐξαμάρτητε περὶ τὴν τοῦ θεοῦ
δόσιν ὑμῖν ἐμοῦ καταψηφισάμενοι. ἐὰν γὰρ
E ἐμὲ | ἀποκτείνητε, οὐ ῥᾳδίως ἄλλον τοιοῦτον
εὑρήσετε, ἀτεχνῶς, εἰ καὶ γελοιότερον εἰπεῖν,
προσκείμενον τῇ πόλει ὑπὸ τοῦ θεοῦ, ὥσπερ
ἵππῳ μεγάλῳ μὲν καὶ γενναίῳ ὑπὸ μεγέθους
δὲ νωθεστέρῳ καὶ δεομένῳ ἐγείρεσθαι ὑπὸ
μύωπός τινος· οἷον δή μοι δοκεῖ ὁ θεὸς ἐμὲ
τῇ πόλει προστεθηκέναι—τοιοῦτόν τινα, ὃς
ὑμᾶς ἐγείρων καὶ πείθων καὶ ὀνειδίζων ἕνα
31 ἕκαστον οὐδὲν παύομαι | τὴν ἡμέραν ὅλην
πανταχοῦ προσκαθίζων. τοιοῦτος οὖν ἄλλος
οὐ ῥᾳδίως ὑμῖν γενήσεται, ὦ ἄνδρες, ἀλλ' ἐὰν
ἐμοὶ πείθησθε, φείσεσθέ μου· ὑμεῖς δ' ἴσως
τάχ' ἂν ἀχθόμενοι, ὥσπερ οἱ νυστάζοντες
ἐγειρόμενοι, κρούσαντες ἄν με, πειθόμενοι
Ἀνύτῳ, ῥᾳδίως ἂν ἀποκτείναιτε, εἶτα τὸν λοι-
πὸν βίον καθεύδοντες διατελοῖτε ἄν, εἰ μή
τινα ἄλλον ὁ θεὸς ὑμῖν ἐπιπέμψειεν κηδόμενος
ὑμῶν. ὅτι δ' ἐγὼ τυγχάνω ὢν τοιοῦτος, οἷος
ὑπὸ τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν |
B κατανοήσαιτε· οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ
τῶν μὲν ἐμαυτοῦ ἁπάντων ἠμεληκέναι καὶ
ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτα
ἤδη ἔτη, τὸ δὲ ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ
ἑκάστῳ προσιόντα ὥσπερ πατέρα ἢ ἀδελφὸν

the small voice —to each separately,

πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι 31 ἀρετῆς. καίτοι εἰ μέν τι ἀπὸ τούτων ἀπέλαυον καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην, εἶχον ἄν τινα λόγον· νῦν δὲ ὁρᾶτε δὴ καὶ αὐτοὶ ὅτι οἱ κατήγοροι, τἆλλα πάντα ἀναισχύντως οὕτω κατηγοροῦντες, τοῦτό γε οὐχ οἷοίτε ἐγένοντο ἀπαναισχυντῆσαι παρασχόμενοι | μάρτυρα, ὡς ἐγώ ποτέ τινα ἢ ἐπρα- C ξάμην μισθὸν ἢ ᾔτησα. ἱκανὸν γάρ, οἶμαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα ὡς ἀληθῆ λέγω—τὴν πενίαν.

but not to the city at large. My divine sign forbids me politics; else long since I had perished.

Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ ἐγὼ ἰδίᾳ μὲν ταῦτα ξυμβουλεύω περιιὼν καὶ πολυπραγμονῶ, δημοσίᾳ δὲ οὐ τολμῶ ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον ξυμβουλεύειν τῇ πόλει. τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι | καὶ δαιμόνιον γίγνεται, D ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλητος ἐγράψατο· ἐμοὶ δὲ τοῦτ' ἔστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἥ, ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τοῦτο ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε· τοῦτ' ἔστιν ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν. καὶ παγκάλως γέ μοι δοκεῖ ἐναντιοῦσθαι· εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ πάλαι ἐπεχείρησα πράττειν τὰ πολιτικὰ πράγματα, πάλαι ἂν ἀπωλώλη καὶ οὔτ' ἂν ὑμᾶς ὠφελήκη | οὐδὲν E οὔτ' ἂν ἐμαυτόν. καί μοι μὴ ἄχθεσθε λέγοντι τἀληθῆ· οὐ γὰρ ἔστιν ὅστις ἀνθρώπων σωθή-

31 σεται οὔτε ὑμῖν οὔτε ἄλλῳ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι, |
32 ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.

Yet for justice' sake, I publicly opposed both the democracy (in the case of the generals),

Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων, οὐ λόγους, ἀλλ' ὃ ὑμεῖς τιμᾶτε, ἔργα. ἀκούσατε δή μου τὰ ἐμοὶ ξυμβεβηκότα, ἵνα εἰδῆτε ὅτι οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι παρὰ τὸ δίκαιον δείσας θάνατον, μὴ ὑπείκων δὲ ἅμ' ἂν καὶ ἀπολοίμην. ἐρῶ δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικά, ἀληθῆ δέ. ἐγὼ γάρ, ὦ
B Ἀθηναῖοι, ἄλλην μὲν ἀρχὴν οὐδεμίαν | πώποτε ἦρξα ἐν τῇ πόλει, ἐβούλευσα δέ· καὶ ἔτυχεν ἡμῶν ἡ φυλὴ [Ἀντιοχὶς] πρυτανεύουσα ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας ἐβούλεσθε ἀθρόους κρίνειν—παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε. τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην μηδὲν ποιεῖν παρὰ τοὺς νόμους καὶ ἐναντία ἐψηφισάμην· καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι με καὶ ἀπάγειν τῶν ῥητόρων καὶ ὑμῶν κελευόντων καὶ βοώντων, μετὰ τοῦ
C νόμου καὶ τοῦ | δικαίου ᾤμην μᾶλλόν με δεῖν διακινδυνεύειν ἢ μεθ' ὑμῶν γενέσθαι μὴ δίκαια βουλευομένων, φοβηθέντα δεσμὸν ἢ θάνατον. καὶ ταῦτα μὲν ἦν ἔτι δημοκρατουμένης τῆς πόλεως· ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο, οἱ τριάκοντα αὖ μεταπεμψά-

and the oligarchy (in Leon's arrest),

μενοί με πέμπτον αὐτὸν εἰς τὴν θόλον προσ- 32
έταξαν ἀγαγεῖν ἐκ Σαλαμῖνος Λέοντα τὸν Σαλαμί-
νιον, ἵνα ἀποθάνοι—οἷα δὴ καὶ ἄλλοις ἐκεῖνοι
πολλοῖς πολλὰ προσέταττον, βουλόμενοι ὡς
πλείστους ἀναπλῆσαι αἰτιῶν· τότε μέντοι ἐγὼ
οὐ | λόγῳ ἀλλ᾽ ἔργῳ αὖ ἐνεδειξάμην ὅτι ἐμοὶ D
θανάτου μὲν μέλει (εἰ μὴ ἀγροικότερον ἦν
εἰπεῖν) οὐδ᾽ ὁτιοῦν, τοῦ δὲ μηδὲν ἄδικον μηδ᾽
ἀνόσιον ἐργάζεσθαι, τούτου δὲ τὸ πᾶν μέλει.
ἐμὲ γὰρ ἐκείνη ἡ ἀρχὴ οὐκ ἐξέπληξεν, οὕτως
ἰσχυρὰ οὖσα, ὥστε ἄδικόν τι ἐργάσασθαι, ἀλλ᾽
ἐπειδὴ ἐκ τῆς θόλου ἐξήλθομεν, οἱ μὲν τέτταρες
ᾤχοντο εἰς Σαλαμῖνα καὶ ἤγαγον Λέοντα, ἐγὼ
δὲ ᾠχόμην ἀπιὼν οἴκαδε. καὶ ἴσως ἂν διὰ
ταῦτα ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ διὰ ταχέων
κατελύθη· καὶ τούτων | ὑμῖν ἔσονται πολλοὶ E
μάρτυρες.

Ἆρ᾽ οὖν ἄν με οἴεσθε τοσάδε ἔτη διαγε-
νέσθαι, εἰ ἔπραττον τὰ δημόσια, καὶ πράττων
ἀξίως ἀνδρὸς ἀγαθοῦ ἐβοήθουν τοῖς δικαίοις
καί, ὥσπερ χρή, τοῦτο περὶ πλείστου ἐποιού-
μην; πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι.
οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων οὐδείς. | ἀλλ᾽ 33
ἐγὼ διὰ παντὸς τοῦ βίου δημοσίᾳ τε, εἴ πού
τι ἔπραξα, τοιοῦτος φανοῦμαι, καὶ
ἰδίᾳ ὁ αὐτὸς οὗτος, οὐδενὶ πώποτε
ξυγχωρήσας οὐδὲν παρὰ τὸ δίκαιον
οὔτε ἄλλῳ οὔτε τούτων οὐδενί, οὓς
οἱ διαβάλλοντες ἐμέ φασιν ἐμοὺς
μαθητὰς εἶναι. ἐγὼ δὲ διδάσκαλος μὲν οὐδενὸς
πώποτ᾽ ἐγενόμην· εἰ δέ τίς μου λέγοντος καὶ

and, privately, my so-called pupils—though I am no teacher, and take no fee.

33 τὰ ἐμαυτοῦ πράττοντος ἐπιθυμεῖ ἀκούειν, εἴτ
νεώτερος εἴτε πρεσβύτερος, οὐδενὶ πώποτ
ἐφθόνησα, οὐδὲ χρήματα μὲν λαμβάνων διαλε
B γομαι, μὴ λαμβάνων | δὲ οὔ, ἀλλ᾽ ὁμοίως κα
πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶ
καὶ ἐάν τις βούληται ἀποκρινόμενος ἀκούει
ὧν ἂν λέγω. καὶ τούτων ἐγὼ εἴτε τις χρηστὸ
γίγνεται εἴτε μή, οὐκ ἂν δικαίως τὴν αἰτία
ὑπέχοιμι, ὧν μήτε ὑπεσχόμην μηδενὶ μηδὲ
πώποτε μάθημα μήτε ἐδίδαξα· εἰ δέ τίς φησ
παρ᾽ ἐμοῦ πώποτέ τι μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ
τι μὴ καὶ οἱ ἄλλοι πάντες, εὖ ἴστε ὅτι οὐ
ἀληθῆ λέγει.

Ἀλλὰ διὰ τί δή ποτε μετ᾽ ἐμοῦ χαίρουσ
C τινες πολὺν χρόνον διατρίβοντες; | ἀκηκόατ
ὦ ἄνδρες Ἀθηναῖοι· πᾶσαν ὑμῖν τὴν ἀλήθεια
ἐγὼ εἶπον,—ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζ
μένοις τοῖς οἰομένοις μὲν εἶναι σοφοῖς οὖσι δ᾽ ο
ἔστι γὰρ οὐκ ἀηδές. ἐμοὶ δὲ τοῦτο, ὡς ἐγ
φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν κα
ἐκ μαντείων καὶ ἐξ ἐνυπνίων καὶ παντὶ τρόπ
ᾧπερ τινί ποτε καὶ ἄλλῳ θεία μοῖρα ἀνθρώπ
καὶ ὁτιοῦν προσέταξε πράττειν. ταῦτα, ὦ Ἀθη
ναῖοι, καὶ ἀληθῆ ἐστιν καὶ εὐέλεγκτα. εἰ γὰρ δ
D ἔγωγε τῶν νέων τοὺς μὲν διαφθείρω, | τοὺς δὲ δι
φθαρκα, χρῆν δήπου, εἴτε τινὲς αὐτῶ
πρεσβύτεροι γενόμενοι ἔγνωσαν ὅ
νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώπο
τι ξυνεβούλευσα, νυνὶ αὐτοὺς ἀναβα
νοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρε
σθαι· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τιν

If indeed I corrupted the youth, why do neither they nor their relatives appear against me?

τῶν ἐκείνων, πατέρας καὶ ἀδελφοὺς καὶ ἄλλους 33
τοὺς προσήκοντας, εἴπερ ὑπ' ἐμοῦ τι κακὸν
ἐπεπόνθεσαν αὐτῶν οἱ οἰκεῖοι, νῦν μεμνῆσθαι
καὶ τιμωρεῖσθαι. πάντως δὲ πάρεισιν αὐτῶν
πολλοὶ ἐνταυθοῖ, οὓς ἐγὼ ὁρῶ, πρῶτον μὲν
Κρίτων οὑτοσί, ἐμὸς ἡλικιώτης καὶ δημότης,
Κριτοβούλου | τοῦδε πατήρ, ἔπειτα Λυσανίας E
ὁ Σφήττιος, Αἰσχίνου τοῦδε πατήρ· ἔτι Ἀντιφῶν
ὁ Κηφισιεὺς οὑτοσί, Ἐπιγένους πατήρ· ἄλλοι
τοίνυν οὗτοι, ὧν οἱ ἀδελφοὶ ἐν ταύτῃ τῇ δια-
τριβῇ γεγόνασιν, Νικόστρατος Θεοζοτίδου, ἀδελ-
φὸς Θεοδότου (καὶ ὁ μὲν Θεόδοτος τετελεύτηκεν,
ὥστε οὐκ ἂν ἐκεῖνός γε αὐτοῦ καταδεηθείη),
καὶ Πάραλος ὅδε ὁ Δημοδόκου, οὗ ἦν Θεάγης
ἀδελφός· ὅδε δὲ | Ἀδείμαντος ὁ Ἀρίστωνος, 34
οὗ ἀδελφὸς οὑτοσὶ Πλάτων, καὶ Αἰαντόδωρος,
οὗ Ἀπολλόδωρος ὅδε ἀδελφός. καὶ ἄλλους
πολλοὺς ἐγὼ ἔχω ὑμῖν εἰπεῖν, ὧν τινα ἐχρῆν
μάλιστα μὲν ἐν τῷ ἑαυτοῦ λόγῳ παρασχέσθαι
Μέλητον μάρτυρα· εἰ δὲ τότε ἐπελάθετο, νῦν
παρασχέσθω (ἐγὼ παραχωρῶ) καὶ λεγέτω, εἴ
τι ἔχει τοιοῦτον. ἀλλὰ (τούτου πᾶν τοὐναντίον)
εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοηθεῖν ἑτοί-
μους τῷ διαφθείροντι, τῷ κακὰ ἐργαζομένῳ
τοὺς οἰκείους αὐτῶν, ὥς φασι Μέλητος καὶ |
Ἄνυτος. αὐτοὶ μὲν γὰρ οἱ διεφθαρμένοι τάχ' B
ἂν λόγον ἔχοιεν βοηθοῦντες· οἱ δὲ ἀδιάφθαρτοι,
πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες,
τίνα ἄλλον ἔχουσι λόγον βοηθοῦντες ἐμοὶ ἀλλ'
ἢ τὸν ὀρθόν τε καὶ δίκαιον, ὅτι ξυνίσασι
Μελήτῳ μὲν ψευδομένῳ, ἐμοὶ δὲ ἀληθεύοντι;

34 Εἶεν δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ' ἂν ἀπολογεῖσθαι, σχεδόν ἐστι ταῦτα καὶ ἄλλα ἴσως τοιαῦτα. τάχα δ' ἄν τις ὑμῶν ἀγανακτήσειεν ἀναμνησθεὶς |

Enough! No tears nor children's prayers in my behalf! I am not wilful; but such appeals disgrace the city, pervert justice, and are impious.

C ἑαυτοῦ, εἰ ὁ μὲν καὶ ἐλάττω τουτουῒ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος ἐδεήθη τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία τε αὑτοῦ ἀναβιβασάμενος, ἵνα ὅτι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλων πολλούς, ἐγὼ δὲ οὐδὲν ἄρα τούτων ποιήσω, καὶ ταῦτα κινδυνεύων, ὡς ἂν δόξαιμι, τὸν ἔσχατον κίνδυνον. τάχ' οὖν τις ταῦτα ἐννοήσας αὐθαδέστερον ἂν πρός με σχοίη, καὶ ὀργισθεὶς αὐτοῖς τούτοις θεῖτο ἂν μετ' ὀργῆς τὴν ψῆφον. εἰ δή τις

D ὑμῶν οὕτως ἔχει — | οὐκ ἀξιῶ μὲν γὰρ ἔγωγε, εἰ δ' οὖν, ἐπιεικῆ ἄν μοι δοκῶ πρὸς τοῦτον λέγειν λέγων ὅτι Ἐμοί, ὦ ἄριστε, εἰσὶν μέν πού τινες καὶ οἰκεῖοι· καὶ γὰρ τοῦτο αὖ τὸ τοῦ Ὁμήρου, οὐδ' ἐγὼ ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης πέφυκα, ἀλλ' ἐξ ἀνθρώπων, ὥστε καὶ οἰκεῖοί μοί εἰσι καὶ υἱεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς, εἷς μὲν μειράκιον ἤδη, δύο δὲ παιδία· ἀλλ' ὅμως οὐδένα αὐτῶν δεῦρο ἀναβιβασάμενος δεήσομαι ὑμῶν ἀποψηφίσασθαι. τί δὴ οὖν οὐδὲν τούτων ποιήσω; οὐκ αὐθαδιζόμενος, ὦ Ἀθηναῖοι,

E οὐδ' ὑμᾶς | ἀτιμάζων, ἀλλ'—εἰ μὲν θαρραλέως ἐγὼ ἔχω πρὸς θάνατον ἢ μή, ἄλλος λόγος, πρὸς δ' οὖν δόξαν καὶ ἐμοὶ καὶ ὑμῖν καὶ ὅλῃ τῇ πόλει οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν ποιεῖν καὶ τηλικόνδε ὄντα καὶ τοῦτο

τοὔνομα ἔχοντα, εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος· 34
ἀλλ' οὖν δεδογμένον γέ ἐστι τὸν Σωκράτη διαφέ-
ρειν τινὶ τῶν πολλῶν | ἀνθρώπων. εἰ οὖν ὑμῶν 35
οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ εἴτε ἀνδρείᾳ
εἴτε ἄλλῃ ἡτινιοῦν ἀρετῇ τοιοῦτοι ἔσονται,
αἰσχρὸν ἂν εἴη· οἵουσπερ ἐγὼ πολλάκις ἑώρακά
τινας, ὅταν κρίνωνται, δοκοῦντας μέν τι εἶναι,
θαυμάσια δὲ ἐργαζομένους, ὡς δεινόν τι οἰομένους
πείσεσθαι, εἰ ἀποθανοῦνται, ὥσπερ ἀθανάτων
ἐσομένων, ἂν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε· οἳ
ἐμοὶ δοκοῦσιν αἰσχύνην τῇ πόλει περιάπτειν,
ὥστ' ἄν τινα καὶ τῶν ξένων ὑπολαβεῖν ὅτι οἱ
διαφέροντες Ἀθηναίων εἰς ἀρετήν, | οὓς αὐτοὶ B
ἑαυτῶν ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς ἄλλαις
τιμαῖς προκρίνουσιν, οὗτοι γυναικῶν οὐδὲν δια-
φέρουσι. ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε
ὑμᾶς χρὴ ποιεῖν τοὺς δοκοῦντας καὶ ὁπῃοῦν τι
εἶναι, οὔτ', ἂν ἡμεῖς ποιῶμεν, ὑμᾶς ἐπιτρέπειν,
ἀλλὰ τοῦτο αὐτὸ ἐνδείκνυσθαι, ὅτι πολὺ μᾶλλον
καταψηφιεῖσθε τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα
εἰσάγοντος καὶ καταγέλαστον τὴν πόλιν ποι-
οῦντος ἢ τοῦ ἡσυχίαν ἄγοντος.

Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲ δίκαιόν
μοι δοκεῖ εἶναι δεῖσθαι τοῦ δικαστοῦ | οὐδὲ C
δεόμενον ἀποφεύγειν, ἀλλὰ διδάσκειν καὶ πείθειν.
οὐ γὰρ ἐπὶ τούτῳ κάθηται ὁ δικαστής, ἐπὶ τῷ
καταχαρίζεσθαι τὰ δίκαια, ἀλλ' ἐπὶ τῷ κρίνειν
ταῦτα· καὶ ὀμώμοκεν οὐ χαριεῖσθαι οἷς ἂν δοκῇ
αὐτῷ, ἀλλὰ δικάσειν κατὰ τοὺς νόμους. οὔκουν
χρὴ οὔτε ἡμᾶς ἐθίζειν ὑμᾶς ἐπιορκεῖν οὔθ' ὑμᾶς
ἐθίζεσθαι· οὐδέτεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν.

35 μὴ οὖν ἀξιοῦτέ με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα δεῖν πρὸς ὑμᾶς πράττειν, ἃ μήτε ἡγοῦμαι καλὰ
D εἶναι μήτε δίκαια μήτε ὅσια, ἄλλως τε μέντοι | νὴ Δία [πάντως] καὶ ἀσεβείας φεύγοντα ὑπὸ Μελήτου τουτουΐ. σαφῶς γὰρ ἄν, εἰ πείθοιμι ὑμᾶς καὶ τῷ δεῖσθαι βιαζοίμην ὀμωμοκότας, θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς εἶναι, καὶ ἀτεχνῶς ἀπολογούμενος κατηγοροίην ἂν ἐμαυτοῦ ὡς θεοὺς οὐ νομίζω. ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν· νομίζω τε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν ἐμῶν κατηγόρων, καὶ ὑμῖν ἐπιτρέπω καὶ τῷ θεῷ κρῖναι περὶ ἐμοῦ ὅπῃ μέλλει ἐμοί τε ἄριστα εἶναι καὶ ὑμῖν.

After the Verdict "Guilty."

E | Τὸ μὲν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τούτῳ τῷ γεγονότι, ὅτι μου κατ-
36 εψηφίσασθε, | ἄλλα τέ μοι πολλὰ ξυμβάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονεν τὸ γεγονὸς τοῦτο, ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότα ἀριθμόν. οὐ γὰρ ᾤόμην ἔγωγε οὕτω παρ' ὀλίγον ἔσεσθαι, ἀλλὰ παρὰ πολύ· νῦν δέ, ὡς ἔοικεν, εἰ τριάκοντα μόναι μετέπεσον τῶν ψήφων, ἀπεπεφεύγη ἄν. Μέλητον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀποπέφευγα, καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ παντὶ δῆλον τοῦτό γε, ὅτι, εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Λύκων κατηγορήσοντες
B ἐμοῦ, κἂν ὦφλε χιλίας δραχμάς, | οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων.

This verdict I expected, but not by so small a majority.

My counter-penalty? Justly—maintenance in the Prytaneum. For imprisonment, exile, etc. I do not deserve,

Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. εἶεν· 36
ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ
ἄνδρες Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς
ἀξίας; τί οὖν; τί ἄξιός εἰμι παθεῖν
ἢ ἀποτεῖσαι, ὅ τι μαθὼν ἐν τῷ βίῳ οὐχ
ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας ὧνπερ οἱ
πολλοί, χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρα-
τηγιῶν καὶ δημηγοριῶν καὶ τῶν ἄλλων ἀρχῶν
καὶ ξυνωμοσιῶν καὶ στάσεων τῶν ἐν τῇ πόλει
γιγνομένων, ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέ-
στερον εἶναι ἢ ὥστε εἰς ταῦτ' | ἰόντα σῴζεσθαι, C
ἐνταῦθα μὲν οὐκ ᾖα, οἶ ἐλθὼν μήτε ὑμῖν μήτε
ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι, ἐπὶ δὲ τὸ
ἰδίᾳ ἕκαστον [ἰὼν] εὐεργετεῖν τὴν μεγίστην εὐερ-
γεσίαν, ὥς ἐγώ φημι, ἐνταῦθα ᾖα, ἐπιχειρῶν
ἕκαστον ὑμῶν πείθειν μὴ πρότερον μήτε τῶν
ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ἐπι-
μεληθείη, ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος
ἔσοιτο, μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς
πόλεως, τῶν τε ἄλλων οὕτω κατὰ τὸν αὐτὸν τρόπον
ἐπιμελεῖσθαι· τί οὖν εἰμι ἄξιος παθεῖν | τοιοῦτος D
ὤν; ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δεῖ γε
κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθαι· καὶ ταῦτά
γε ἀγαθὸν τοιοῦτον, ὅ τι ἂν πρέποι ἐμοί. τί
οὖν πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ, δεομένῳ
ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει;
οὐκ ἔσθ' ὅ τι μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι,
πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν πρυτα-
νείῳ σιτεῖσθαι, πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν
ἵππῳ ἢ ξυνωρίδι ἢ ζεύγει νενίκηκεν Ὀλυμπίασιν.
ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι,

E ἐγὼ δὲ εἶναι· καὶ ὁ | μὲν τροφῆς οὐδὲν δεῖται,
ἐγὼ δὲ δέομαι. εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον
37 τῆς ἀξίας τιμᾶσθαι, τούτου | τιμῶμαι, ἐν πρυτα-
νείῳ σιτήσεως.

Ἴσως οὖν ὑμῖν καὶ ταυτὶ λέγων παραπλησίως
δοκῶ λέγειν ὥσπερ περὶ τοῦ οἴκτου καὶ τῆς
ἀντιβολήσεως, ἀπαυθαδιζόμενος· τὸ δὲ οὐκ ἔστιν,
ὦ Ἀθηναῖοι, τοιοῦτον, ἀλλὰ τοιόνδε μᾶλλον.
πέπεισμαι ἐγὼ ἑκὼν εἶναι μηδένα ἀδικεῖν ἀνθρώ-
πων. (ἀλλὰ ὑμᾶς τοῦτο οὐ πείθω· ὀλίγον γὰρ
χρόνον ἀλλήλοις διειλέγμεθα· ἐπεί, ὡς ἐγῷμαι,
εἰ ἦν ὑμῖν νόμος, ὥσπερ καὶ ἄλλοις ἀνθρώποις,
B περὶ θανάτου μὴ μίαν ἡμέραν μόνον | κρίνειν,
ἀλλὰ πολλάς, ἐπείσθητε ἄν· νῦν δ' οὐ ῥᾴδιον
ἐν χρόνῳ ὀλίγῳ μεγάλας διαβολὰς ἀπολύεσθαι.)
πεπεισμένος δὴ ἐγὼ μηδένα ἀδικεῖν, πολλοῦ
δέω ἐμαυτόν γε ἀδικήσειν καὶ κατ' ἐμαυτοῦ
ἐρεῖν αὐτὸς ὡς ἄξιός εἰμί του κακοῦ, καὶ
τιμήσεσθαι τοιούτου τινὸς ἐμαυτῷ. τί δείσας;
ἢ μὴ πάθω τοῦτο, οὗ Μέλητός μοι τιμᾶται, ὅ
φημι οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν
ἐστιν; ἀντὶ τούτου δὴ ἕλωμαι ὧν εὖ οἶδ' ὅτι
κακῶν ὄντων; τοῦ τιμησάμενος; πότερον δε-
C σμοῦ; καὶ τί | με δεῖ ζῆν ἐν δεσμωτηρίῳ
δουλεύοντα τῇ ἀεὶ καθισταμένῃ ἀρχῇ [, τοῖς
ἕνδεκα]; ἀλλὰ χρημάτων, καὶ δεδέσθαι, ἕως
ἂν ἐκτείσω; ἀλλὰ ταὐτόν μοί ἐστιν, ὅπερ νῦν
δὴ ἔλεγον· οὐ γάρ ἔστι μοι χρήματα, ὁπόθεν
ἐκτείσω. ἀλλὰ δὴ φυγῆς τιμήσωμαι; ἴσως
γὰρ ἄν μοι τούτου τιμήσαιτε. πολλὴ μεντἄν
με φιλοψυχία ἔχοι, εἰ οὕτως ἀλόγιστός εἰμι

ὥστε μὴ δύνασθαι λογίζεσθαι ὅτι ὑμεῖς μὲν 37
ὄντες πολῖταί μου οὐχ οἷοίτε ἐγένεσθε ἐνεγκεῖν
τὰς ἐμὰς διατριβὰς | καὶ τοὺς λόγους, ἀλλ' D
ὑμῖν βαρύτεραι γεγόνασιν καὶ ἐπιφθονώτεραι,
ὥστε ζητεῖτε αὐτῶν νυνὶ ἀπαλλαγῆναι,—ἄλλοι
δὲ ἄρα αὐτὰς οἴσουσι ῥᾳδίως; πολλοῦ γε δεῖ,
ὦ Ἀθηναῖοι. καλὸς οὖν ἄν μοι ὁ βίος εἴη
ἐξελθόντι τηλικῷδε ἀνθρώπῳ ἄλλην ἐξ ἄλλης
πόλεως ἀμειβομένῳ καὶ ἐξελαυνομένῳ ζῆν. εὖ
γὰρ οἶδ' ὅτι, ὅποι ἂν ἔλθω, λέγοντος ἐμοῦ
ἀκροάσονται οἱ νέοι ὥσπερ ἐνθάδε· κἂν μὲν
τούτους ἀπελαύνω, οὗτοι ἐμὲ αὐτοὶ ἐξελῶσι,
πείθοντες τοὺς πρεσβυτέρους· ἐὰν δὲ μὴ |
ἀπελαύνω, οἱ τούτων πατέρες τε καὶ οἰκεῖοι δι' E
αὐτοὺς τούτους.

Ἴσως οὖν ἄν τις εἴποι· σιγῶν δὲ καὶ ἡσυχίαν
ἄγων, ὦ Σώκρατες, οὐχ οἷόστ' ἔσει
ἡμῖν ἐξελθὼν ζῆν; τουτὶ δή ἐστι
πάντων χαλεπώτατον πεῖσαί τινας
ὑμῶν. ἐάντε γὰρ λέγω ὅτι τῷ θεῷ
ἀπειθεῖν τοῦτ' ἔστιν καὶ διὰ τοῦτο
ἀδύνατον ἡσυχίαν ἄγειν, οὐ πείσεσθέ μοι ὡς
εἰρωνευομένῳ· | ἐάντ' αὖ λέγω ὅτι καὶ τυγχάνει 38
μέγιστον ἀγαθὸν ὂν ἀνθρώπῳ τοῦτο, ἑκάστης
ἡμέρας περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι καὶ
τῶν ἄλλων, περὶ ὧν ὑμεῖς ἐμοῦ ἀκούετε δια-
λεγομένου καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος,
ὁ δὲ ἀνεξέταστος βίος οὐ βιωτὸς ἀνθρώπῳ,
ταῦτα δ' ἔτι ἧττον πείσεσθέ μοι λέγοντι. τὰ
δὲ ἔχει μὲν οὕτως, ὡς ἐγώ φημι, ὦ ἄνδρες,
πείθειν δὲ οὐ ῥᾴδιον. καὶ ἐγὼ ἅμα οὐκ εἴθι-

nor could I change my life. But my friends here offer to pay a fine of thirty minae.

38 σμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. εἰ μὲν
B γὰρ ἦν μοι χρήματα, ἐτιμησάμην | ἂν χρημάτων
ὅσα ἔμελλον ἐκτείσειν· οὐδὲν γὰρ ἂν ἐβλάβην·
νῦν δὲ οὐ γὰρ ἔστιν, εἰ μὴ ἄρα ὅσον ἂν ἐγὼ
δυναίμην ἐκτεῖσαι, τοσούτου βούλεσθέ μοι τιμῆ-
σαι. ἴσως δ' ἂν δυναίμην ἐκτεῖσαι ὑμῖν μνᾶν
ἀργυρίου· τοσούτου οὖν τιμῶμαι. Πλάτων δὲ
ὅδε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κρίτων καὶ
Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με
τριάκοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι·
τιμῶμαι οὖν τοσούτου, ἐγγυηταὶ δὲ ὑμῖν ἔσονται
τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ.

After the Sentence "Death."

You who have condemned me will win disgrace cheaply —Death would soon have come to an old man.

C | Οὐ πολλοῦ γ' ἕνεκα χρόνου, ὦ ἄνδρες
Ἀθηναῖοι, ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ
τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν,
ὡς Σωκράτη ἀπεκτόνατε, ἄνδρα σοφόν·
φήσουσι γὰρ δή με σοφὸν εἶναι, εἰ
καὶ μή εἰμι, οἱ βουλόμενοι ὑμῖν
ὀνειδίζειν. εἰ οὖν περιεμείνατε ὀλίγον χρόνον,
ἀπὸ τοῦ αὐτομάτου ἂν ὑμῖν τοῦτο ἐγένετο·
ὁρᾶτε γὰρ δὴ τὴν ἡλικίαν, ὅτι πόρρω ἤδη ἐστὶ
τοῦ βίου, θανάτου δὲ ἐγγύς. λέγω δὲ τοῦτο
D οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς | ἐμοῦ
καταψηφισαμένους θάνατον. λέγω δὲ καὶ τόδε
πρὸς τοὺς αὐτοὺς τούτους. ἴσως με οἴεσθε, ὦ
ἄνδρες, ἀπορίᾳ λόγων ἑαλωκέναι τοιούτων, οἷς
ἂν ὑμᾶς ἔπεισα, εἰ ᾤμην δεῖν ἅπαντα ποιεῖν
καὶ λέγειν, ὥστε ἀποφυγεῖν τὴν δίκην. πολλοῦ

γε δεῖ. ἀλλ᾽ ἀπορίᾳ μὲν ἑάλωκα, οὐ μέντοι 38
λόγων, ἀλλὰ τόλμης καὶ ἀναισχυντίας καὶ τοῦ
ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα, οἷ᾽ ἂν ὑμῖν
ἥδιστα ἦν ἀκούειν, θρηνοῦντός τέ μου καὶ ὀδυρο-
μένου καὶ ἄλλα ποιοῦντος καὶ | λέγοντος πολλὰ E
καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγώ φημι· οἷα δὴ καὶ
εἴθισθε ὑμεῖς τῶν ἄλλων ἀκούειν. ἀλλ᾽ οὔτε
τότε ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου πρᾶξαι οὐδὲν
ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει
οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ
μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι
ἢ ἐκείνως ζῆν. οὔτε γὰρ ἐν δίκῃ οὔτ᾽ ἐν
πολέμῳ οὔτ᾽ ἐμὲ οὔτ᾽ ἄλλον οὐδένα δεῖ τοῦτο
| μηχανᾶσθαι, ὅπως ἀποφεύξεται πᾶν ποιῶν 39
θάνατον. καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις
δῆλον γίγνεται ὅτι τό γε ἀποθανεῖν ἄν τις
ἐκφύγοι καὶ ὅπλα ἀφεὶς καὶ ἐφ᾽ ἱκετείαν
τραπόμενος τῶν διωκόντων· καὶ ἄλλαι μηχαναὶ
πολλαί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις, ὥστε
διαφεύγειν θάνατον, ἐάν τις τολμᾷ πᾶν ποιεῖν
καὶ λέγειν. ἀλλὰ μὴ οὐ τοῦτ᾽ ᾖ χαλεπόν, ὦ
ἄνδρες, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώ-
τερον πονηρίαν· θᾶττον γὰρ θανάτου θεῖ. καὶ
| νῦν ἐγὼ μὲν ἅτε βραδὺς ὢν καὶ πρεσβύτης B
ὑπὸ τοῦ βραδυτέρου ἑάλων, οἱ δ᾽ ἐμοὶ κατήγοροι
ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες ὑπὸ τοῦ θάττονος,
τῆς κακίας. καὶ νῦν ἐγὼ μὲν ἄπειμι ὑφ᾽
ὑμῶν θανάτου δίκην ὀφλών, οὗτοι δ᾽ ὑπὸ
τῆς ἀληθείας ὠφληκότες μοχθηρίαν
καὶ ἀδικίαν. καὶ ἔγωγε τῷ τιμή-
ματι ἐμμένω—καὶ οὗτοι. ταῦτα μέν που ἴσως

I repent not of my words,

and I abide by the award.

39 οὕτως καὶ ἔδει σχεῖν, καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν.

Τὸ δὲ δὴ μετὰ τοῦτο ἐπιθυμῶ ὑμῖν χρησμῳδῆσαι, C | ὦ καταψηφισάμενοί μου· καὶ γάρ εἰμι ἤδη ἐνταῦθα, ἐν ᾧ μάλιστα ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι. φημὶ γάρ, ὦ ἄνδρες, οἳ ἐμὲ ἀπεκτόνατε, τιμωρίαν ὑμῖν ἥξειν εὐθὺς μετὰ τὸν ἐμὸν θάνατον πολὺ χαλεπωτέραν νὴ Δία ἢ οἵαν ἐμὲ ἀπεκτόνατε· νῦν γὰρ τοῦτο εἴργάσασθε οἰόμενοι ἀπαλλάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου· τὸ δὲ ὑμῖν πολὺ ἐναντίον ἀποβήσεται, ὡς ἐγώ φημι. πλείους ἔσονται ὑμᾶς οἱ ἐλέγχοντες, D οὓς νῦν ἐγὼ κατεῖχον, ὑμεῖς | δὲ οὐκ ᾐσθάνεσθε· καὶ χαλεπώτεροι ἔσονται ὅσῳ νεώτεροί εἰσιν, καὶ ὑμεῖς μᾶλλον ἀγανακτήσετε. εἰ γὰρ οἴεσθε ἀποκτείνοντες ἀνθρώπους ἐπισχήσειν τοῦ ὀνειδίζειν τινὰ ὑμῖν ὅτι οὐκ ὀρθῶς ζῆτε, οὐκ ὀρθῶς διανοεῖσθε· οὐ γάρ ἐσθ᾽ αὕτη ἡ ἀπαλλαγὴ οὔτε πάνυ δυνατὴ οὔτε καλή, ἀλλ᾽ ἐκείνη καὶ καλλίστη καὶ ῥᾴστη, μὴ τοὺς ἄλλους κολούειν, ἀλλ᾽ ἑαυτὸν παρασκευάζειν, ὅπως ἔσται ὡς βέλτιστος. ταῦτα μὲν οὖν ὑμῖν τοῖς καταψηφισαμένοις μαντευσάμενος ἀπαλλάττομαι.

For you, I prophesy no escape, thus, from confutation. Others will succeed me.

E | Τοῖς δὲ ἀποψηφισαμένοις ἡδέως ἂν διαλεχθείην ὑπὲρ τοῦ γεγονότος τουτουὶ πράγματος, ἐν ᾧ οἱ ἄρχοντες ἀσχολίαν ἄγουσι καὶ οὔπω ἔρχομαι οἷ ἐλθόντα με δεῖ τεθνάναι. ἀλλά μοι, ὦ ἄνδρες, παραμείνατε τοσοῦτον

To you who would have freed me I say: The God's sign has been silent; hence all must be well.

χρόνον· οὐδὲν γὰρ κωλύει διαμυθολογῆσαι 39
πρὸς ἀλλήλους, ἕως ἔξεστιν. ὑμῖν γὰρ ὡς
| φίλοις οὖσιν ἐπιδεῖξαι ἐθέλω τὸ νυνί μοι 40
ξυμβεβηκὸς τί ποτε νοεῖ. ἐμοὶ γάρ, ὦ ἄνδρες
δικασταί (ὑμᾶς γὰρ δικαστὰς καλῶν ὀρθῶς ἂν
καλοίην), θαυμάσιόν τι γέγονεν. ἡ γὰρ εἰωθυῖά
μοι μαντικὴ [ἡ τοῦ δαιμονίου] ἐν μὲν τῷ
πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν καὶ
πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι
μὴ ὀρθῶς πράξειν· νυνὶ δὲ ξυμβέβηκέ μοι,
ἅπερ ὁρᾶτε καὶ αὐτοί, ταυτὶ ἅ γε δὴ οἰηθείη
ἄν τις καὶ νομίζεται ἔσχατα κακῶν εἶναι.
ἐμοὶ δὲ οὔτε ἐξιόντι ἕωθεν οἴκοθεν | ἠναντιώθη B
τὸ τοῦ θεοῦ σημεῖον, οὔτε ἡνίκα ἀνέβαινον
ἐνταυθοῖ ἐπὶ τὸ δικαστήριον, οὔτε ἐν τῷ λόγῳ
οὐδαμοῦ μέλλοντί τι ἐρεῖν. καίτοι ἐν ἄλλοις
λόγοις πολλαχοῦ δή με ἐπέσχε λέγοντα μεταξύ·
νῦν δὲ οὐδαμοῦ περὶ ταύτην τὴν πρᾶξιν οὔτ'
ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἠναντίωταί μοι.
τί οὖν αἴτιον εἶναι ὑπολαμβάνω; ἐγὼ ὑμῖν
ἐρῶ· κινδυνεύει γάρ μοι τὸ ξυμβεβηκὸς τοῦτο
ἀγαθὸν γεγονέναι, καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς
ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα | κακὸν C
εἶναι τὸ τεθνάναι. μέγα μοι τεκμήριον τούτου
γέγονεν· οὐ γὰρ ἔσθ' ὅπως οὐκ ἠναντιώθη ἄν
μοι τὸ εἰωθὸς σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ
ἀγαθὸν πράξειν.

Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς
ἐστιν ἀγαθὸν αὐτὸ εἶναι. δυοῖν γὰρ
θάτερόν ἐστιν τὸ τεθνάναι· ἢ γὰρ
οἷον μηδὲν εἶναι μηδὲ αἴσθησιν

Death is no evil, whether unconsciousness or a

40 joining elsewhere those already dead.

μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψυχῇ τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον. καὶ εἴτε
D μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' | οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδ' ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. ἐγὼ γὰρ ἂν οἶμαι, εἴ τινα ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν, ὥστε μηδὲ ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτί—δέοι σκεψάμενον εἰπεῖν, πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα εὐαριθ-
E μήτους | ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστιν, κέρδος ἔγωγε λέγω· καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ. εἰ δ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀληθῆ ἐστιν τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικασταί; εἰ γάρ τις ἀφικό-
41 μενος εἰς Ἅιδου, ἀπαλλαγεὶς τούτων | τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι

καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ 41
πόσῳ ἄν τις δέξαιτ᾽ ἂν ὑμῶν; ἐγὼ μὲν γὰρ
πολλάκις ἐθέλω τεθνάναι, εἰ ταῦτ᾽ ἔστιν ἀληθῆ·
ἐπεὶ ἔμοιγε καὶ αὐτῷ θαυμαστὴ ἂν εἴη ἡ
διατριβὴ αὐτόθι, | ὁπότε ἐντύχοιμι Παλαμήδει B
καὶ Αἴαντι τῷ Τελαμῶνος καὶ εἴ τις ἄλλος
τῶν παλαιῶν διὰ κρίσιν ἄδικον τέθνηκεν, ἀντι-
παραβάλλοντι τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ
ἐκείνων, ὡς ἐγὼ οἶμαι,—οὐκ ἂν ἀηδὴς εἴη. καὶ
δὴ τὸ μέγιστον, τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευ-
νῶντα ὥσπερ τοὺς ἐνταῦθα διάγειν, τίς αὐτῶν
σοφός ἐστιν καὶ τίς οἴεται μέν, ἔστιν δ᾽ οὔ—
ἐπὶ πόσῳ δἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο
ἐξετάσαι τὸν ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν
στρατιὰν ἢ Ὀδυσσέα ἢ | Σίσυφον, ἢ—ἄλλους C
μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖκας;
οἷς ἐκεῖ διαλέγεσθαι καὶ ξυνεῖναι καὶ ἐξετά-
ζειν ἀμήχανον ἂν εἴη εὐδαιμονίας. πάντως οὐ
δήπου τούτου γε ἕνεκα οἱ ἐκεῖ ἀποκτείνουσι·
τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ
τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί
εἰσιν, εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστιν.

Be of good hope. No harm befalls the good man.

Ἀλλὰ καὶ ὑμᾶς χρή, ὦ ἄνδρες δικασταί,
εὐέλπιδας εἶναι πρὸς τὸν θάνατον,
καὶ ἕν τι τοῦτο διανοεῖσθαι ἀληθές,
ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ | κακὸν D
οὐδὲν οὔτε ζῶντι οὔτε τελευτήσαντι, οὐδὲ ἀμε-
λεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα· οὐδὲ
τὰ ἐμὰ νῦν ἀπὸ τοῦ αὐτομάτου γέγονεν, ἀλλά
μοι δῆλόν ἐστι τοῦτο, ὅτι ἤδη τεθνάναι καὶ
ἀπηλλάχθαι πραγμάτων βέλτιόν ἦν μοι. διὰ

41 τοῦτο καὶ ἐμὲ οὐδαμοῦ ἀπέτρεψεν τὸ σημεῖον, καὶ ἔγωγε τοῖς καταψηφισαμένοις μου καὶ τοῖς κατηγόροις οὐ πάνυ χαλεπαίνω. καίτοι οὐ ταύτῃ τῇ διανοίᾳ κατεψηφίζοντό μου καὶ κατηγόρουν, ἀλλ' οἰόμενοι βλάπτειν· τοῦτο

E αὐτοῖς | ἄξιον μέμφεσθαι. τοσόνδε μέντοι αὐτῶν δέομαι· τοὺς ὑεῖς μου, ἐπειδὰν ἡβήσωσι, τιμωρήσασθε, ὦ ἄνδρες, ταὐτὰ ταῦτα λυποῦντες, ἅπερ ἐγὼ ὑμᾶς ἐλύπουν· ἐὰν ὑμῖν δοκῶσιν ἢ χρημάτων ἢ ἄλλου του πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς, καὶ ἐὰν δοκῶσί τι εἶναι μηδὲν ὄντες, ὀνειδίζετε αὐτοῖς, ὥσπερ ἐγὼ ὑμῖν, ὅτι οὐκ ἐπιμελοῦνται ὧν δεῖ, καὶ οἴονταί τι εἶναι ὄντες οὐδενὸς ἄξιοι. καὶ ἐὰν ταῦτα ποιῆτε, δίκαια |

Reprove my sons, as I have you, if they are wise in their own conceit. Adieu.

42 πεπονθὼς ἐγὼ ἔσομαι ὑφ' ὑμῶν, αὐτός τε καὶ οἱ ὑεῖς. ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν ἀποθανουμένῳ, ὑμῖν δὲ βιωσομένοις· ὁπότεροι δὲ ἡμῶν ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν εἰ τῷ θεῷ.

CRITO

(*Entire*)

Socrates in Prison refuses all means of Escape.

SOCRATES. CRITO.

43 ΣΩ. Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ

A πρῴ ἔτι ἐστίν;

ΚΡ. Πάνυ μὲν οὖν.

Crito comes at dawn. For the mission-

ship has been sighted, and Socrates must now die. 43

ΣΩ. Πηνίκα μάλιστα;

ΚΡ. Ὄρθρος βαθύς.

ΣΩ. Θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι.

ΚΡ. Ξυνήθης ἤδη μοί ἐστιν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν, καί τι καὶ εὐεργέτηται ὑπ' ἐμοῦ.

ΣΩ. Ἄρτι δὲ ἥκεις ἢ πάλαι;

ΚΡ. Ἐπιεικῶς πάλαι.

ΣΩ. Εἶτα πῶς | οὐκ εὐθὺς ἐπήγειράς με, B
ἀλλὰ σιγῇ παρακάθησαι;

ΚΡ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ τε ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι. ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω, αἰσθανόμενος ὡς ἡδέως καθεύδεις· καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς. καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ ηὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις.

ΣΩ. Καὶ γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾶν.

ΚΡ. | Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν C
τοιαύταις ξυμφοραῖς ἁλίσκονται, ἀλλ' οὐδὲν αὐτοὺς ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ.

ΣΩ. Ἔστι ταῦτα. ἀλλὰ τί δὴ οὕτω πρῲ ἀφῖξαι;

ΚΡ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπήν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς

43 σοῖς ἐπιτηδείοις πᾶσιν καὶ χαλεπὴν καὶ βαρεῖαν, ἣν ἐγώ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι.

ΣΩ. Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ
D Δήλου, οὗ δεῖ ἀφικομένου | τεθνάναι με;

ΚΡ. Οὔτοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου καὶ καταλιπόντες ἐκεῖ αὐτό. δῆλον οὖν ἐκ τούτων τῶν ἀγγέλων ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὴ εἰς αὔριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.

ΣΩ. Ἀλλ', ὦ Κρίτων, τύχῃ ἀγαθῇ. εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ τήμερον.

44 ΚΡ. | Πόθεν τοῦτο τεκμαίρει;

ΣΩ. Ἐγώ σοι ἐρῶ. τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνῄσκειν ἢ ᾗ ἂν ἔλθῃ τὸ πλοῖον.

ΚΡ. Φασί γέ τοι δὴ οἱ τούτων κύριοι.

ΣΩ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας. τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ ἐγεῖραί με.

ΚΡ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον;

ΣΩ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα καλὴ καὶ εὐειδής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με |
B καὶ εἰπεῖν· Ὦ Σώκρατες, ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο.

ΚΡ. Ἄτοπον τὸ ἐνύπνιον, ὦ Σώκρατες.

ΣΩ. Ἐναργὲς μὲν οὖν, ὥς γέ μοι δοκεῖ, ὦ Κρίτων.

ΚΡ. Λίαν γε, ὡς ἔοικεν. ἀλλ', ὦ δαιμόνιε 44
Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πείθου
καὶ σώθητι· ὡς ἐμοί, ἐὰν σὺ ἀπο-
θάνῃς, οὐ μία ξυμφορά ἐστιν, ἀλλὰ
χωρὶς μὲν σοῦ ἐστερῆσθαι, τοιούτου
ἐπιτηδείου οἷον ἐγὼ οὐδένα μήποτε
εὑρήσω, ἔτι δὲ καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ
μὴ σαφῶς ἴσασιν, ὡς οἷόστ' | ὢν σε σῴζειν, εἰ C
ἤθελον ἀναλίσκειν χρήματα, ἀμελῆσαι. καίτοι
τίς ἂν αἰσχίων εἴη ταύτης δόξα—ἢ δοκεῖν
χρήματα περὶ πλείονος ποιεῖσθαι ἢ φίλους;
οὐ γὰρ πείσονται οἱ πολλοὶ ὡς σὺ αὐτὸς
οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε, ἡμῶν προθυμου-
μένων.

Crito urges him yet to fly: First, what will men think of us your friends, if we let you perish?

ΣΩ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι, ὧν μᾶλλον ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπρᾶχθαι, ὥσπερ ἂν πραχθῇ.

ΚΡ. Ἀλλ' ὁρᾷς δὴ ὅτι ἀνάγκη, ὦ Σώκρατες,
| καὶ τῆς τῶν πολλῶν δόξης μέλειν. αὐτὰ δὲ D
δῆλα τὰ παρόντα νυνί, ὅτι οἷοί τ' εἰσὶν οἱ πολλοὶ
οὐ τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι,
ἀλλὰ τὰ μέγιστα σχεδόν, ἐάν τις ἐν αὐτοῖς
διαβεβλημένος ᾖ.

ΣΩ. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τ' εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐργάζεσθαι, ἵνα οἷοί τ' ἦσαν καὶ ἀγαθὰ τὰ μέγιστα, καὶ καλῶς ἂν εἶχεν· νῦν δὲ οὐδέτερα οἷοί τε· οὔτε γὰρ φρόνιμον οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι, ποιοῦσι δὲ τοῦτο ὅ τι ἂν τύχωσι.

44 ΚΡ. Ταῦτα μὲν δὴ οὕτως | ἐχέτω· τάδε δέ,
E ὦ Σώκρατες, εἰπέ μοι. ἆρά γε μὴ
ἐμοῦ προμηθεῖ καὶ τῶν ἄλλων ἐπι-
τηδείων, μή, ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς,
οἱ συκοφάνται ἡμῖν πράγματα παρ-
έχωσιν ὡς σε ἐνθένδε ἐκκλέψασιν, καὶ ἀναγκα-
σθῶμεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν ἢ
συχνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις
45 παθεῖν; εἰ γάρ τι τοιοῦτον | φοβεῖ, ἔασον
αὐτὸ χαίρειν· ἡμεῖς γάρ που δίκαιοί ἐσμεν
σώσαντές σε κινδυνεύειν τοῦτον τὸν κίνδυνον
καί, ἐὰν δέῃ, ἔτι τούτου μείζω. ἀλλ' ἐμοὶ
πείθου καὶ μὴ ἄλλως ποίει.

Second be not concerned on our account. Bribery is cheap, and we are many.

ΣΩ. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ
ἄλλα πολλά.

ΚΡ. Μήτε τοίνυν ταῦτα φοβοῦ· καὶ γὰρ
οὐδὲ πολὺ τἀργύριόν ἐστιν, ὃ 'θέλουσι λαβόντες
τινὲς σῶσαί σε καὶ ἐξαγαγεῖν ἐνθένδε. ἔπειτα
οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας ὡς εὐτελεῖς,
καὶ οὐδὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου;
B σοὶ δὲ ὑπάρχει μὲν | τὰ ἐμὰ χρήματα, ὡς ἐγὼ
οἶμαι, ἱκανά· ἔπειτα καὶ εἴ τι ἐμοῦ κηδόμενος
οὐκ οἴει δεῖν ἀναλίσκειν τἀμά, ξένοι αὖ το[ί]
ἐνθάδε ἕτοιμοι ἀναλίσκειν· εἷς δὲ καὶ κεκόμικεν
ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανόν, Σιμμίας ὁ
Θηβαῖος· ἕτοιμος δὲ καὶ Κέβης καὶ ἄλλοι
πολλοὶ πάνυ. ὥστε, ὅπερ λέγω, μήτε ταῦτα
φοβούμενος ἀποκάμῃς σαυτὸν σῶσαι, μήτε ὃ
ἔλεγες ἐν τῷ δικαστηρίῳ δυσχερές σοι γενέσθω
ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅ τι χρῷο σαυτῷ
πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε ὅποι ἂν ἀφίκῃ

ἀγαπήσουσί | σε· ἐὰν δὲ βούλῃ εἰς Θετταλίαν 45
ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ C
ποιήσονται καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε
σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν.

Besides, it is not right to throw away life, desert your children, and expose us to ridicule.

Ἔτι δέ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι
δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σαυτὸν
προδοῦναι, ἐξὸν σωθῆναι· καὶ τοιαῦτα
σπεύδεις περὶ σαυτὸν γενέσθαι, ἅπερ
ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν τε
καὶ ἔσπευσάν σε διαφθεῖραι βουλό-
μενοι. πρὸς δὲ τούτοις καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ
ἔμοιγε δοκεῖς προδιδόναι, οὕς σοι ἐξὸν καὶ
ἐκθρέψαι | καὶ ἐκπαιδεῦσαι οἰχήσει καταλιπών, D
καὶ τὸ σὸν μέρος, ὅ τι ἂν τύχωσι, τοῦτο πρά-
ξουσιν· τεύξονται δέ, ὡς τὸ εἰκός, τοιούτων
οἷάπερ εἴωθεν γίγνεσθαι ἐν ταῖς ὀρφανίαις
περὶ τοὺς ὀρφανούς. ἢ γὰρ οὐ χρὴ ποιεῖσθαι
παῖδας ἢ ξυνδιαταλαιπωρεῖν καὶ τρέφοντα καὶ
παιδεύοντα· σὺ δέ μοι δοκεῖς τὰ ῥᾳθυμότατα
αἱρεῖσθαι· χρὴ δέ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ
ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά γε
δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖσθαι·
ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ | ἡμῶν τῶν E
σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ
πρᾶγμα τὸ περὶ σὲ ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ
πεπρᾶχθαι—καὶ ἡ εἴσοδος τῆς δίκης εἰς τὸ
δικαστήριον, ὡς εἰσῆλθεν ἐξὸν μὴ εἰσελθεῖν,
καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης, ὡς ἐγένετο, καὶ
τὸ τελευταῖον δὴ τουτί, ὥσπερ κατάγελως
τῆς πράξεως, κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ
ἡμετέρᾳ διαπεφευγέναι | ἡμᾶς δοκεῖν, οἵτινές 46

46 σε οὐχὶ ἐσώσαμεν οὐδὲ σὺ σαυτόν, οἷόντε ὂν καὶ δυνατόν, εἴ τι καὶ μικρὸν ἡμῶν ὄφελος ἦν. ταῦτα οὖν, ὦ Σώκρατες, ὅρα μὴ ἅμα τῷ κακῷ καὶ αἰσχρὰ ᾖ σοί τε καὶ ἡμῖν. ἀλλὰ βουλεύου, μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. μία δὲ βουλή· τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι. εἰ δ' ἔτι περιμενοῦμεν, ἀδύνατον καὶ οὐκέτι οἷόντε. ἀλλὰ παντὶ τρόπῳ, ὦ Σώκρατες, πείθου μοι καὶ μηδαμῶς ἄλλως ποίει.

B ΣΩ. Ὦ | φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη· εἰ δὲ μή, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα. σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον εἴτε μή· ὡς ἐγὼ οὐ μόνον νῦν ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. τοὺς δὲ λόγους, οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν, ἀλλὰ σχεδόν τι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω |

But, Crito, what of all our fine reasoning heretofore? Were we not to disregard the opinion of the many,

C καὶ τιμῶ οὕσπερ καὶ πρότερον· ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ' ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις ὥσπερ παῖδας ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα καὶ χρημάτων ἀφαιρέσεις. πῶς οὖν ἂν μετριώτατα σκοποίμεθα αὐτά; εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν, ὃν σὺ λέγεις περὶ τῶν δοξῶν, πότερον καλῶς

ἐλέγετο ἑκάστοτε ἢ οὔ, ὅτι ταῖς μὲν δεῖ τῶν 46
δοξῶν προσέχειν τὸν | νοῦν, ταῖς δὲ οὔ· ἢ D
πρὶν μὲν ἐμὲ δεῖν ἀποθνῄσκειν καλῶς ἐλέγετο,
νῦν δὲ κατάδηλος ἄρα ἐγένετο, ὅτι ἄλλως
ἕνεκα λόγου ἐλέγετο, ἦν δὲ παιδιὰ καὶ φλυαρία
ὡς ἀληθῶς; ἐπιθυμῶ δ' ἔγωγ' ἐπισκέψασθαι,
ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, εἴ τί μοι ἀλλοιό-
τερος φανεῖται, ἐπειδὴ ὧδε ἔχω, ἢ ὁ αὐτός,
καὶ ἐάσομεν χαίρειν ἢ πεισόμεθα αὐτῷ. ἐλέγετο
δέ πως, ὡς ἐγῷμαι, ἑκάστοτε ὧδε ὑπὸ τῶν
οἰομένων τι λέγειν, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον,
ὅτι τῶν δοξῶν, ἃς οἱ ἄνθρωποι δοξάζουσιν,
δέοι τὰς μὲν | περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ E
μή. τοῦτο πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ
καλῶς σοι λέγεσθαι; σὺ γάρ (ὅσα γε τἀνθρώ-
πεια) ἐκτὸς εἶ τοῦ μέλλειν ἀποθνῄσκειν | αὔριον, 47
καὶ οὐκ ἄν σε παρακρούοι ἡ παροῦσα ξυμφορά.
σκόπει δή· οὐχ ἱκανῶς δοκεῖ σοι λέγεσθαι,
ὅτι οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων
τιμᾶν, ἀλλὰ τὰς μέν, τὰς δ' οὔ; τί φῄς;
ταῦτα οὐχὶ καλῶς λέγεται;

ΚΡ. Καλῶς.

ΣΩ. Οὐκοῦν τὰς μὲν χρηστὰς τιμᾶν, τὰς δὲ πονηρὰς μή;

ΚΡ. Ναί.

ΣΩ. Χρησταὶ δὲ οὐχ αἱ τῶν φρονίμων, πονηραὶ δὲ αἱ τῶν ἀφρόνων;

ΚΡ. Πῶς δ' οὔ;

ΣΩ. Φέρε δή, πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο;
γυμναζόμενος | ἀνὴρ καὶ τοῦτο πράττων πότερον B
παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν

47 *as in matters of the body, so in those of the soul—i.e. right and wrong?*

νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου, ὃς ἂν τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν;

ΚΡ. Ἑνὸς μόνου.

ΣΩ. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν.

ΚΡ. Δῆλα δή.

ΣΩ. Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυμναστέον καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ, τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις.

ΚΡ. Ἔστι ταῦτα.

ΣΩ. Εἶεν. ἀπειθήσας δὲ τῷ ἑνὶ καὶ ἀτιμά-
C σας | αὐτοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν λόγους καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται;

ΚΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Τί δ' ἔστι τὸ κακὸν τοῦτο; καὶ ποῖ τείνει, καὶ εἰς τί τῶν τοῦ ἀπειθοῦντος;

ΚΡ. Δῆλον ὅτι εἰς τὸ σῶμα· τοῦτο γὰρ διόλλυσι.

ΣΩ. Καλῶς λέγεις. οὐκοῦν καὶ τἆλλα, ὦ Κρίτων, οὕτως (ἵνα μὴ πάντα διίωμεν), καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων καὶ αἰσχρῶν καὶ καλῶν καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡ βουλὴ ἡμῖν ἐστιν—πότερον τῇ τῶν
D πολλῶν δόξῃ δεῖ ἡμᾶς | ἕπεσθαι καὶ φοβεῖσθαι αὐτὴν ἢ τῇ τοῦ ἑνός, εἴ τίς ἐστιν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ ξύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολου-

θήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, 47
ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ
ἀδίκῳ ἀπώλλυτο. ἢ οὐδέν ἐστι τοῦτο;

ΚΡ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες.

ΣΩ. Φέρε δή, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν
βέλτιον γιγνόμενον ὑπὸ τοῦ νοσώδους
δὲ διαφθειρόμενον διολέσωμεν πειθό-
μενοι μὴ τῇ τῶν ἐπαϊόντων δόξῃ,
ἆρα βιωτὸν ἡμῖν ἐστιν | διεφθαρμένου E
αὐτοῦ; ἔστι δέ που τοῦτο τὸ σῶμα· ἢ οὐχί;

Life is not livable with either corrupted body, or corrupted soul;

ΚΡ. Ναί.

ΣΩ. Ἆρ᾽ οὖν βιωτὸν ἡμῖν ἐστιν μετὰ
μοχθηροῦ καὶ διεφθαρμένου σώματος;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Ἀλλὰ μετ᾽ ἐκείνου ἆρ᾽ ἡμῖν βιωτὸν
διεφθαρμένου, ᾧ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ
δίκαιον ὀνίνησιν; ἢ φαυλότερον ἡγούμεθα εἶναι
τοῦ σώματος ἐκεῖνο, ὅ τι ποτ᾽ ἐστὶ τῶν |
ἡμετέρων, περὶ ὃ ἥ τε ἀδικία καὶ ἡ δικαιοσύνη 48
ἐστίν;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Ἀλλὰ τιμιώτερον;

ΚΡ. Πολύ γε.

ΣΩ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω
φροντιστέον, τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ᾽
ὅ τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων,
ὁ εἷς, καὶ αὐτὴ ἡ ἀλήθεια. ὥστε πρῶτον μὲν
ταύτῃ οὐκ ὀρθῶς εἰσηγεῖ, εἰσηγούμενος τῆς τῶν
πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν
δικαίων καὶ καλῶν καὶ ἀγαθῶν καὶ
τῶν ἐναντίων.—ἀλλὰ μὲν δή, φαίη

for, granted that the many can kill us, yet

48 γ' ἄν τις, οἷοίτε εἰσὶν ἡμᾶς οἱ πολλοὶ ἀποκτιννύναι.

we agreed (did we not?) that not mere living is the main thing, but right living.

B | ΚΡ. Δῆλα δὴ καὶ ταῦτα· φαίη γὰρ ἄν, ὦ Σώκρατες.

ΣΩ. Ἀληθῆ λέγεις· ἀλλ', ὦ θαυμάσιε, οὗτός τε ὁ λόγος, ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ ἔτι ὅμοιος εἶναι [τῷ] καὶ πρότερον· καὶ τόνδε αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν.

ΚΡ. Ἀλλὰ μένει.

ΣΩ. Τὸ δὲ εὖ καὶ καλῶς καὶ δικαίως ὅτι ταὐτόν ἐστιν, μένει ἢ οὐ μένει;

ΚΡ. Μένει.

ΣΩ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι μὴ ἀφιέντων | C Ἀθηναίων ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα, εἰ δὲ μή, ἐῶμεν. ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε ἀναλώσεως χρημάτων καὶ δόξης καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ᾖ τῶν ῥᾳδίως ἀποκτιννύντων καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τ' ἦσαν, οὐδενὶ ξὺν νῷ, τούτων τῶν πολλῶν. ἡμῖν δ', ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ ἢ ὅπερ νῦν δὴ ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες
D τούτοις τοῖς ἐμὲ ἐνθένδε | ἐξάξουσι καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες·

Is it right then (that is the only question) for me to try to escape?

κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ 48
δέῃ ὑπολογίζεσθαι οὔτ' εἰ ἀποθνῄσκειν δεῖ
παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο
ὁτιοῦν πάσχειν πρὸ τοῦ ἀδικεῖν.

ΚΡ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώ-
κρατες. ὅρα δέ, τί δρῶμεν.

ΣΩ. Σκοπῶμεν, ὦ ἀγαθέ, κοινῇ, καὶ εἴ πῃ
ἔχεις ἀντιλέγειν ἐμοῦ λέγοντος, ἀντίλεγε, καί
σοι πείσομαι· εἰ δὲ | μή, παῦσαι ἤδη, ὦ E
μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον,
ὡς χρὴ ἐνθένδε ἀκόντων Ἀθηναίων ἐμὲ ἀπιέναι·
ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι πείσας σε ταῦτα
πράττειν, ἀλλὰ μὴ ἄκοντος. ὅρα δὲ δὴ τῆς
σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς λέγηται,
καὶ πειρῶ ἀποκρίνεσθαι τὸ | ἐρωτώμενον, ᾗ ἂν 49
μάλιστα οἴῃ.

ΚΡ. Ἀλλὰ πειράσομαι.

ΣΩ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον
εἶναι, ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ,
τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν
οὔτε ἀγαθὸν οὔτε καλόν, ὡς πολλάκις
ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ
ὡμολογήθη; [ὅπερ καὶ ἄρτι ἐλέγετο·]
ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμολογίαι ἐν
ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσίν,
καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοίδε γέροντες
ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι |
ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν δια- B
φέροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὥσπερ
τότε ἐλέγετο, ἡμῖν—εἴτε φασὶν οἱ πολλοὶ εἴτε
μή, καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα

But first, do you still admit, as you once did, that we must do no wrong even in retaliation,

49 πάσχειν εἴτε καὶ πραότερα, ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ; φαμὲν ἢ οὔ;

ΚΡ. Φαμέν.

ΣΩ. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν.

ΚΡ. Οὐ δῆτα.

ΣΩ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν.

C ΚΡ. | Οὐ φαίνεται.

ΣΩ. Τί δὲ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ;

ΚΡ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες.

ΣΩ. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασιν, δίκαιον ἢ οὐ δίκαιον;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει.

ΚΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν. καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθ-
D ομολογῶν, ὅπως μὴ παρὰ | δόξαν ὁμολογῇς. οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει. οἷς οὖν οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλὰ ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα. σκόπει δὴ οὖν καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ ξυνδοκεῖ σοι καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέ-

ποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ 49
ἀνταδικεῖν οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι
ἀντιδρῶντα κακῶς, ἢ ἀφίστασαι καὶ οὐ
κοινωνεῖς τῆς ἀρχῆς; ἐμοὶ μὲν | γὰρ καὶ πάλαι E
οὕτω καὶ νῦν ἔτι δοκεῖ, σοὶ δὲ εἴ πῃ ἄλλῃ
δέδοκται, λέγε καὶ δίδασκε. εἰ δ' ἐμμένεις
τοῖς πρόσθε, τὸ μετὰ τοῦτο ἄκουε.

ΚΡ. Ἀλλ' ἐμμένω τε καὶ ξυνδοκεῖ μοι· ἀλλὰ λέγε.

ΣΩ. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δ' ἐρωτῶ· πότερον ἃ ἄν τις ὁμολογήσῃ τῳ δίκαια ὄντα ποιητέον ἢ ἐξαπατητέον;

and that a just compact must be kept?

ΚΡ. Ποιητέον.

ΣΩ. Ἐκ τούτων δὴ ἄθρει. ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες τὴν πόλιν
| πότερον κακῶς τινας ποιοῦμεν, καὶ 50
ταῦτα οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν ἢ οὔ;

Yet would not flight be both a wrong to the State and a breaking of compact?

ΚΡ. Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ.

ΣΩ. Ἀλλ' ὧδε σκόπει. εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως ἐπιστάντες ἔροιντο· Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς, διανοεῖ τούς τε νόμους ἡμᾶς |
ἀπολέσαι καὶ ξύμπασαν τὴν πόλιν τὸ σὸν B
μέρος; ἢ δοκεῖ σοι οἷόν τε ἔτι ἐκείνην τὴν

What if the Laws should come and say: You undo the State.

50 πόλιν εἶναι καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ αἱ
γενόμεναι δίκαι μηδὲν ἰσχύουσιν, ἀλλὰ ὑπὸ
ἰδιωτῶν ἄκυροί τε γίγνονται καὶ διαφθείρονται;
τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα
τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι (ἄλλως τε
καὶ ῥήτωρ) εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου
ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας
προστάττει κυρίας εἶναι. ἢ ἐροῦμεν πρὸς
C αὐτοὺς ὅτι Ἠδίκει | γὰρ ἡμᾶς ἡ πόλις καὶ οὐκ
ὀρθῶς τὴν δίκην ἔκρινεν; ταῦτα ἢ τί ἐροῦμεν;

ΚΡ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες.

ΣΩ. Τί οὖν, ἂν εἴπωσιν οἱ νόμοι· Ὦ
Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε
καὶ σοί, ἢ ἐμμένειν ταῖς δίκαις αἷς ἂν ἡ
πόλις δικάζῃ; εἰ οὖν αὐτῶν θαυμάζοιμεν
λεγόντων, ἴσως ἂν εἴποιεν ὅτι Ὦ Σώκρατες,
μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου,
ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ
ἀποκρίνεσθαι. φέρε γάρ, τί ἐγκαλῶν ἡμῖν |
D καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ
πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς, καὶ δι'
ἡμῶν ἐλάμβανεν τὴν μητέρα σου ὁ πατὴρ
καὶ ἐφύτευσέν σε; φράσον οὖν, τούτοις ἡμῶν
τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους μέμφει τι,
ὡς οὐ καλῶς ἔχουσιν; Οὐ μέμφομαι, φαίην
ἄν. Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου
τροφήν τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ
ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν
οἱ ἐπὶ τούτοις τεταγμένοι νόμοι, παραγγέλ-
λοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ
E γυμναστικῇ παιδεύειν; Καλῶς, | φαίην ἄν.

Under us you were born and reared, and us you must obey or persuade, but not treat with violence.

Εἶεν. ἐπειδὴ δὲ ἐγένου τε καὶ 50 ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μὲν ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦθ' οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, καὶ σοὶ ταῦτα ἀντιποιεῖν οἴει δίκαιον εἶναι; ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον καὶ πρὸς τὸν δεσπότην (εἴ σοι ὢν ἐτύγχανεν) ὥστε, ἅπερ πάσχοις, ταῦτα καὶ ἀντιποιεῖν,—οὔτε κακῶς ἀκούοντα ἀντιλέγειν οὔτε τυπτόμενον | ἀντιτύπτειν οὔτε ἄλλα τοιαῦτα πολλά· πρὸς 51 δὲ τὴν πατρίδα ἄρα καὶ τοὺς νόμους ἐξέσται σοι, ὥστε, ἐὰν σὲ ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι δίκαιον ἡγούμενοι εἶναι,—καὶ σὺ δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα (καθ' ὅσον δύνασαι) ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ φήσεις ταῦτα ποιῶν δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρετῆς ἐπιμελόμενος; ἢ οὕτως εἶ σοφός, ὥστε λέληθέν σε ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι | μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρ' B ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν ἃ ἂν κελεύῃ, καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάντε τύπτεσθαι ἐάντε δεῖσθαι, ἐάν τε εἰς πόλεμον

51 ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ ὑπεικτέον οὐδὲ ἀναχωρητέον οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ
C καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ | πόλις καὶ ἡ πατρίς, ἢ πείθειν αὐτὴν ᾗ τὸ δίκαιον πέφυκε, βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα;—τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους ἢ οὔ;

ΚΡ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Σκόπει τοίνυν, ὦ Σώκρατες, φαῖεν ἂν ἴσως οἱ νόμοι, εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾶν ἃ νῦν ἐπιχειρεῖς. ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων ὧν
D οἷοί τ' ἦμεν καλῶν σοὶ καὶ τοῖς ἄλλοις | πᾶσιν πολίταις, ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμασθῇ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι ὅποι ἂν βούληται. καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν οὐδ' ἀπαγορεύει, ἐάντε τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι, εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάντε μετοικεῖν ἄλλοσε ἐλθών, ἰέναι ἐκεῖσε ὅποι ἂν
E βούληται, ἔχοντα τὰ αὑτοῦ. ὃς δ' ἂν | ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν καὶ τἆλλα τὴν πόλιν διοικοῦ-

You could have withdrawn from Athens, if we did not please you.

μέν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ 51
ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα,
καὶ τὸν μὴ πειθόμενον τριχῇ φαμεν ἀδικεῖν,
ὅτι τε γεννηταῖς οὖσιν ἡμῖν οὐ πείθεται, καὶ
ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθε-
σθαι οὔτε πείθεται οὔτε πείθει ἡμᾶς, εἰ μὴ
καλῶς τι ποιοῦμεν, προτιθέντων | ἡμῶν καὶ 52
οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύω-
μεν, ἀλλὰ ἐφιέντων δυοῖν θάτερα, ἢ πείθειν
ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ.

Yet you more constantly than all others have preferred residence here.

Ταύταις δή φαμεν καὶ σέ, Σώκρατες, ταῖς
αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ
ἐπινοεῖς, καὶ οὐχ ἥκιστα Ἀθηναίων
σέ, ἀλλ᾽ ἐν τοῖς μάλιστα. εἰ οὖν
ἐγὼ εἴποιμι· Διὰ τί δή; ἴσως ἄν
μου δικαίως καθάπτοιντο λέγοντες ὅτι ἐν τοῖς
μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς
τυγχάνω ταύτην τὴν ὁμολογίαν. φαῖεν γὰρ
ἂν ὅτι Ὦ Σώκρατες, μεγάλα ἡμῖν | τούτων B
τεκμήριά ἐστιν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν
καὶ ἡ πόλις· οὐ γὰρ ἄν ποτε τῶν ἄλλων
Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδή-
μεις, εἰ μή σοι διαφερόντως ἤρεσκεν, καὶ οὔτ᾽
ἐπὶ θεωρίαν πώποτ᾽ ἐκ τῆς πόλεως ἐξῆλθες
οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευ-
σόμενος, οὔτε ἄλλην ἀποδημίαν ἐποιήσω
πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι, οὐδ᾽
ἐπιθυμία σε ἄλλης πόλεως οὐδὲ ἄλλων νόμων
ἔλαβεν εἰδέναι, ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν
καὶ ἡ ἡμετέρα πόλις· οὕτω | σφόδρα ἡμᾶς C
ᾑροῦ, καὶ ὡμολόγεις καθ᾽ ἡμᾶς πολιτεύσεσθαι,

52 τά τε ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡ
ἀρεσκούσης σοι τῆς πόλεως. ἔτι τοίνυν ἐπ
αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι
εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως
ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι. σὺ δὲ τότε
μὲν ἐκαλλωπίζου ὡς οὐκ ἀγανακτῶν, εἰ δέοι
τεθνάναι σε, ἀλλὰ ᾑροῦ, ὡς ἔφησθα, πρὸ τῆς
φυγῆς θάνατον· νῦν δὲ οὔτ᾽ ἐκείνους τοὺς
λόγους αἰσχύνει, οὔτε ἡμῶν τῶν νόμων ἐντρέπει,
D ἐπιχειρῶν διαφθεῖραι, πράττεις | τε ἅπερ ἂν
δοῦλος φαυλότατος πράξειεν, ἀποδιδράσκειν
ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε καὶ τὰς ὁμο-
λογίας, καθ᾽ ἃς ἡμῖν ξυνέθου πολιτεύεσθαι.

A proof of your compact with us.

πρῶτον μὲν οὖν ἡμῖν τοῦτ᾽ αὐτὸ
ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν φά-
σκοντές σε ὡμολογηκέναι πολιτεύεσθαι
καθ᾽ ἡμᾶς ἔργῳ, ἀλλ᾽ οὐ λόγῳ, ἢ οὐκ ἀληθῆ.
τί φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ
ὁμολογῶμεν;

ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες.

ΣΩ. Ἄλλο τι οὖν ἂν φαῖεν ἢ ξυνθήκας
τὰς πρὸς ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παρα-
E βαίνεις, οὐχ ὑπὸ | ἀνάγκης ὁμολογήσας οὐδὲ
ἀπατηθεὶς οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς
βουλεύσασθαι, ἀλλ᾽ ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν
οἷς ἐξῆν σοι ἀπιέναι, εἰ μὴ ἠρέσκομεν ἡμεῖς
μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι,
σὺ δὲ οὔτε Λακεδαίμονα προῃροῦ οὔτε Κρήτην,
ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι, οὔτε ἄλλην
οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων οὐδὲ τῶν
53 βαρβαρικῶν, | ἀλλὰ ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησα

ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι 53
ἀνάπηροι· οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς οἱ νόμοι δῆλον ὅτι· τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; νῦν δὲ δὴ οὐκ ἐμμένεις τοῖς ὡμολογημένοις; ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσει ἐκ τῆς πόλεως ἐξελθών.

Σκόπει γὰρ δή, ταῦτα παραβὰς καὶ ἐξαμαρτάνων τι τούτων, τί ἀγαθὸν ἐργάσει σαυτὸν
ἢ τοὺς ἐπιτηδείους τοὺς | σαυτοῦ. ὅτι μὲν B
γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν καὶ στερηθῆναι τῆς πόλεως ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον· αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς, ἢ Θήβαζε ἢ Μέγαράδε (εὐνομοῦνται γὰρ ἀμφότεραι), πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ, καὶ ὅσοιπερ κήδονται τῶν αὐτῶν πόλεων ὑποβλέψονταί σε διαφθορέα ἡγούμενοι τῶν νόμων, καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν
ὀρθῶς τὴν δίκην | δικάσαι· ὅστις γὰρ νόμων C
διαφθορεύς ἐστιν, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. πότερον οὖν φεύξει τάς τε εὐνομουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιόν σοι ζῆν ἔσται; ἢ πλησιάσεις τούτοις καὶ ἀναισχυντήσεις διαλεγόμενος—τίνας λόγους, ὦ Σώκρατες; ἢ οὕσπερ ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου

And if you fly, how would Thebes or Megara receive the law-breaker and his teachings of justice?

53 ἄξιον τοῖς ἀνθρώποις καὶ τὰ νόμιμα καὶ οἱ
νόμοι; καὶ οὐκ οἴει ἄσχημον ἂν φανεῖσθαι τὸ
D τοῦ Σωκράτους | πρᾶγμα; οἴεσθαί γε χρή.
ἀλλ' ἐκ μὲν τούτων τῶν τόπων ἀπαρεῖς, ἥξεις

Or will you go to lawless Thessaly?

δὲ εἰς Θετταλίαν παρὰ τοὺς ξένους
τοὺς Κρίτωνος· ἐκεῖ γὰρ δὴ πλείστη
ἀταξία καὶ ἀκολασία, καὶ ἴσως ἂν
ἡδέως σου ἀκούοιεν, ὡς γελοίως ἐκ τοῦ
δεσμωτηρίου ἀπεδίδρασκες σκευήν τέ τινα
περιθέμενος, ἢ διφθέραν λαβὼν ἢ ἄλλα οἷα
δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες,
καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας· ὅτι δὲ
γέρων ἀνὴρ σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ
E ὄντος, ὡς τὸ εἰκός, | ἐτόλμησας οὕτω γλίσχρως
ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους παραβάς,
οὐδεὶς ὃς ἐρεῖ; ἴσως, ἂν μή τινα λυπῇς· εἰ
δὲ μή, ἀκούσει, ὦ Σώκρατες, πολλὰ καὶ ἀνάξια
σαυτοῦ. ὑπερχόμενος δὴ βιώσει πάντας ἀνθρώ-
πους καὶ δουλεύων—τι ποιῶν; ἢ εὐωχούμενος
ἐν Θετταλίᾳ, ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς
εἰς Θετταλίαν; λόγοι δὲ ἐκεῖνοι οἱ περὶ
δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς ποῦ
54 ἡμῖν | ἔσονται; ἀλλὰ δὴ τῶν παίδων ἕνεκα
βούλει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύ-
σῃς. τί δέ; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν
θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας,
ἵνα καὶ τοῦτο ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ,
αὐτοῦ δὲ τρεφόμενοι σοῦ ζῶντος βέλτιον
θρέψονται καὶ παιδεύσονται, μὴ ξυνόντος σοῦ
αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι, οἵ σοι ἐπιμελή-
σονται αὐτῶν, πότερον, ἐὰν εἰς Θετταλίαν

ἀποδημήσῃς, ἐπιμελήσονται, ἐὰν δὲ εἰς Ἅιδου 54 ἀποδημήσῃς, οὐχὶ ἐπιμελήσονται; εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστιν τῶν | σοι φασκόντων B ἐπιτηδείων εἶναι, οἴεσθαί γε χρή.

Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι μήτε παῖδας περὶ πλείονος ποιοῦ μήτε τὸ ζῆν μήτε ἄλλο μηδὲν πρὸ τοῦ δικαίου, ἵνα εἰς Ἅιδου ἐλθὼν ἔχῃς πάντα ταῦτα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν· οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι οὐδὲ δικαιότερον οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί, οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς, οὐχ ὑφ' ἡμῶν τῶν νόμων | ἀλλὰ ὑπ' ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς οὕτως C αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς καὶ κακὰ ἐργασάμενος τούτους οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς, ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοὶ οἱ ἐν Ἅιδου νόμοι οὐκ εὐμενῶς σε ὑποδέξονται, εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι τὸ σὸν μέρος. ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἃ λέγει μᾶλλον | ἢ ἡμεῖς. D

Nay, Socrates, choose no thing before the right; listen not to Crito.

Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥσπερ οἱ κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν, καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ καὶ

This, Crito, rings in my ears. I can hear naught else. Let us follow God's lead.

54 ποιεῖ μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν· ἀλλὰ ἴσθι (ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα) ἐὰν λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. ὅμως μέντοι, εἴ τι οἴει πλέον ποιήσειν, λέγε.

ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν.

E ΣΩ. Ἔα τοίνυν, ὦ Κρίτων, | καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

PHAEDO

(*Beginning and end*)

Socrates' Last Day.

ECHECRATES. PHAEDO.

Visiting Phlius, Phaedo is questioned about Socrates' death.

57 A ΕΧ. Αὐτός, ὦ Φαίδων, παρεγένου Σωκράτει ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλου του ἤκουσας;

ΦΑΙΔ. Αὐτός, ὦ Ἐχέκρατες.

ΕΧ. Τί οὖν δή ἐστιν ἅττα εἶπεν ὁ ἀνὴρ πρὸ τοῦ θανάτου; καὶ πῶς ἐτελεύτα; ἡδέως γὰρ ἂν ἐγὼ ἀκούσαιμι. καὶ γὰρ οὔτε τῶν πολιτῶν Φλειασίων οὐδεὶς πάνυ τι ἐπιχωριάζει τὰ νῦν Ἀθήναζε, οὔτε τις ξένος ἀφῖκ-
B ται | χρόνου συχνοῦ ἐκεῖθεν, ὅστις ἂν ἡμῖν σαφές τι ἀγγεῖλαι οἷός τ' ἦν περὶ τούτων, πλήν γε δὴ ὅτι φάρμακον πιὼν ἀποθάνοι· τῶν δὲ ἄλλων οὐδὲν εἶχεν φράζειν.

58 ΦΑΙΔ. Οὐδὲ τὰ περὶ τῆς δίκης | ἄρα ἐπύθεσθε ὃν τρόπον ἐγένετο;

ΕΧ. Ναί, ταῦτα μὲν ἡμῖν ἤγγειλέ τις, 58 καὶ ἐθαυμάζομέν γε ὅτι πάλαι γενομένης αὐτῆς πολλῷ ὕστερον φαίνεται ἀποθανών. τί οὖν ἦν τοῦτο, ὦ Φαίδων;

ΦΑΙΔ. Τύχη τις αὐτῷ, ὦ Ἐχέκρατες, συνέβη· ἔτυχεν γὰρ τῇ προτεραίᾳ τῆς δίκης ἡ πρύμνα ἐστεμμένη τοῦ πλοίου, ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσιν.

He tells the cause of its long delay after condemnation,

ΕΧ. Τοῦτο δὲ δὴ τί ἐστιν;

ΦΑΙΔ. Τοῦτ' ἔστι τὸ πλοῖον, ὥς φασιν Ἀθηναῖοι, ἐν ᾧ Θησεύς ποτε εἰς Κρήτην τοὺς δὶς ἑπτὰ ἐκείνους ᾤχετο ἄγων | καὶ ἔσωσέ τε B καὶ αὐτὸς ἐσώθη. τῷ οὖν Ἀπόλλωνι ηὔξαντο, ὡς λέγεται, τότε, εἰ σωθεῖεν, ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον· ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου κατ' ἐνιαυτὸν τῷ θεῷ πέμπουσιν. ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίας, νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν ἂν εἰς Δῆλόν τε ἀφίκηται τὸ πλοῖον καὶ πάλιν δεῦρο· τοῦτο δ' ἐνίοτε ἐν πολλῷ χρόνῳ γίγνεται, ὅταν τύχωσιν ἄνεμοι ἀπολαβόντες αὐτούς. ἀρχὴ | δ' ἐστὶ τῆς θεωρίας, ἐπειδὰν ὁ ἱερεὺς τοῦ C Ἀπόλλωνος στέψῃ τὴν πρύμναν τοῦ πλοίου· τοῦτο δ' ἔτυχεν, ὥσπερ λέγω, τῇ προτεραίᾳ τῆς δίκης γεγονός. διὰ ταῦτα καὶ πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ ὁ μεταξὺ τῆς δίκης τε καὶ τοῦ θανάτου.

ΕΧ. Τί δὲ δὴ τὰ περὶ αὐτὸν τὸν θάνατον, ὦ Φαίδων; τί ἦν τὰ λεχθέντα καὶ πραχθέντα,

58 καὶ τίνες οἱ παραγενόμενοι τῶν ἐπιτηδείων τῷ
ἀνδρί; ἢ οὐκ εἴων οἱ ἄρχοντες παρεῖναι, ἀλλ'
ἔρημος ἐτελεύτα φίλων;

D ΦΑΙΔ. | Οὐδαμῶς, ἀλλὰ παρῆσάν τινες, καὶ
πολλοί γε.

ΕΧ. Ταῦτα δὴ πάντα προθυμήθητι ὡς
σαφέστατα ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τίς σοι
ἀσχολία τυγχάνει οὖσα.

ΦΑΙΔ. Ἀλλὰ σχολάζω γε καὶ πειράσομαι
ὑμῖν διηγήσασθαι· καὶ γὰρ τὸ μεμνῆσθαι
Σωκράτους καὶ αὐτὸν λέγοντα καὶ ἄλλου ἀκού-
οντα ἔμοιγε ἀεὶ πάντων ἥδιστον.

ΕΧ. Ἀλλὰ μήν, ὦ Φαίδων, καὶ τοὺς ἀκου-
σομένους γε τοιούτους ἑτέρους ἔχεις· ἀλλὰ πειρῶ
ὡς ἂν δύνῃ ἀκριβέστατα διεξελθεῖν πάντα.

E ΦΑΙΔ. Καὶ μὴν ἔγωγε θαυμάσια | ἔπαθον
παραγενόμενος. οὔτε γὰρ ὡς θανάτῳ
παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος
εἰσῄει· εὐδαίμων γάρ μοι ἁνὴρ ἐφαίνετο, ὦ
Ἐχέκρατες, καὶ τοῦ τρόπου καὶ τῶν λόγων, ὡς
ἀδεῶς καὶ γενναίως ἐτελεύτα, ὥστε μοι ἐκεῖνον
παρίστασθαι μηδ' εἰς Ἅιδου ἰόντα ἄνευ θείας
μοίρας ἰέναι, ἀλλὰ καὶ ἐκεῖσε ἀφικόμενον εὖ
59 πράξειν, εἴπερ τις πώποτε καὶ | ἄλλος. διὰ
δὴ ταῦτα οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰσῄει, ὡς
εἰκὸς ἂν δόξειεν εἶναι παρόντι πένθει· οὔτε αὖ
ἡδονὴ ὡς ἐν φιλοσοφίᾳ ἡμῶν ὄντων, ὥσπερ
εἰώθεμεν (καὶ γὰρ οἱ λόγοι τοιοῦτοί τινες ἦσαν),
ἀλλ' ἀτεχνῶς ἄτοπόν τί μοι πάθος παρῆν καί
τις ἀήθης κρᾶσις ἀπό τε τῆς ἡδονῆς συγκε-
κραμένη ὁμοῦ καὶ ἀπὸ τῆς λύπης, ἐνθυμουμένῳ

of Socrates' calm,

ὅτι αὐτίκα ἐκεῖνος ἔμελλε τελευτᾶν. καὶ πάντες **59**
οἱ παρόντες σχεδόν τι οὕτω διεκείμεθα, ὁτὲ μὲν γελῶντες, ἐνίοτε δὲ δακρύοντες, εἷς δὲ ἡμῶν καὶ διαφερόντως, Ἀπολλόδωρος· οἶσθα γάρ που τὸν ἄνδρα | καὶ τὸν τρόπον αὐτοῦ. **B**

ΕΧ. Πῶς γὰρ οὔ;

ΦΑΙΔ. Ἐκεῖνός τε τοίνυν παντάπασιν οὕτως εἶχεν, καὶ αὐτὸς ἔγωγε ἐτεταράγμην καὶ οἱ ἄλλοι.

ΕΧ. Ἔτυχον δέ, ὦ Φαίδων, τίνες παραγενόμενοι;

ΦΑΙΔ. Οὗτός τε δὴ ὁ Ἀπολλόδωρος τῶν ἐπιχωρίων παρῆν καὶ ὁ Κριτόβουλος καὶ ὁ πατὴρ αὐτοῦ [Κρίτων], καὶ ἔτι Ἑρμογένης καὶ Ἐπιγένης καὶ Αἰσχίνης καὶ Ἀντισθένης· ἦν δὲ καὶ Κτήσιππος ὁ Παιανιεὺς καὶ Μενέξενος καὶ ἄλλοι τινὲς τῶν ἐπιχωρίων· Πλάτων δέ, οἶμαι, ἠσθένει.

the names of the friends present,

ΕΧ. Ξένοι δέ τινες παρῆσαν;

ΦΑΙΔ. | Ναί, Σιμμίας τέ γε ὁ Θηβαῖος καὶ **C**
Κέβης καὶ Φαιδωνίδης καὶ Μεγαρόθεν Εὐκλείδης τε καὶ Τερψίων.

ΕΧ. Τί δέ; Ἀρίστιππος καὶ Κλεόμβροτος <οὐ> παρεγένοντο;

ΦΑΙΔ. Οὐ δῆτα· ἐν Αἰγίνῃ γὰρ ἐλέγοντο εἶναι.

ΕΧ. Ἄλλος δέ τις παρῆν;

ΦΑΙΔ. Σχεδόν τι οἶμαι τούτους παραγενέσθαι.

ΕΧ. Τί οὖν δή; τίνες, φῄς, ἦσαν οἱ λόγοι;

59 ΦΑΙΔ. Ἐγώ σοι ἐξ ἀρχῆς πάντα πειράσομαι διηγήσασθαι. ἀεὶ γὰρ δὴ καὶ

of their daily visits to the prison, and of their last gathering.

D τὰς πρόσθεν ἡμέρας | εἰώθεμεν φοιτᾶν καὶ ἐγὼ καὶ οἱ ἄλλοι παρὰ τὸν Σωκράτη, συλλεγόμενοι ἕωθεν εἰς τὸ δικαστήριον, ἐν ᾧ καὶ ἡ δίκη ἐγένετο· πλησίον γὰρ ἦν τοῦ δεσμωτηρίου. περιεμένομεν οὖν ἑκάστοτε, ἕως ἀνοιχθείη τὸ δεσμωτήριον, διατρίβοντες μετ᾽ ἀλλήλων· ἀνεῴγετο γὰρ οὐ πρῴ· ἐπειδὴ δὲ ἀνοιχθείη, εἰσῇμεν παρὰ τὸν Σωκράτη καὶ τὰ πολλὰ διημερεύομεν μετ᾽ αὐτοῦ. καὶ δὴ καὶ τότε πρῳαίτερον συνελέγημεν. τῇ γὰρ προτεραίᾳ [ἡμέρᾳ] ἐπειδὴ

E ἐξήλθομεν ἐκ τοῦ δεσμωτηρίου | ἑσπέρας, ἐπυθόμεθα ὅτι τὸ πλοῖον ἐκ Δήλου ἀφιγμένον εἴη. παρηγγείλαμεν οὖν ἀλλήλοις ἥκειν ὡς πρῳαίτατα εἰς τὸ εἰωθός. καὶ ἥκομεν καὶ ἡμῖν ἐξελθὼν ὁ θυρωρός, ὅσπερ εἰώθει ὑπακούειν, εἶπεν περιμένειν καὶ μὴ πρότερον παριέναι, ἕως ἂν αὐτὸς κελεύσῃ. Λύουσι γάρ, ἔφη, οἱ ἕνδεκα Σωκράτη καὶ παραγγέλλουσιν ὅπως ἂν τῇδε τῇ ἡμέρᾳ τελευτήσῃ. οὐ πολὺν δ᾽ οὖν χρόνον ἐπισχὼν ἧκεν καὶ ἐκέλευεν ἡμᾶς εἰσιέναι. εἰσελθόντες

60 οὖν κατελαμβάνομεν | τὸν μὲν Σωκράτη ἄρτι λελυμένον, τὴν δὲ Ξανθίππην (γιγνώσκεις γάρ) ἔχουσάν τε τὸ παιδίον αὐτοῦ καὶ παρακαθημένην. ὡς οὖν εἶδεν ἡμᾶς ἡ Ξανθίππη, ἀνηυφήμησέ τε καὶ τοιαῦτ᾽ ἄττα εἶπεν, οἷα δὴ εἰώθασιν αἱ γυναῖκες, ὅτι Ὦ Σώκρατες, ὕστατον δή σε προσεροῦσι νῦν οἱ ἐπιτήδειοι καὶ σὺ τούτους. καὶ ὁ Σωκράτης βλέψας εἰς τὸν

Κρίτωνα· Ὦ Κρίτων, ἔφη, ἀπαγέτω τις αὐτὴν 60
οἴκαδε. καὶ ἐκείνην μὲν ἀπῆγόν τινες τῶν τοῦ
Κρίτωνος βοῶσάν τε καὶ κοπτομένην· | ὁ δὲ B
Σωκράτης ἀνακαθιζόμενος εἰς τὴν κλίνην συν-
έκαμψέ τε τὸ σκέλος καὶ ἐξέτριψε τῇ χειρί,
καὶ τρίβων ἅμα· Ὡς ἄτοπον, ἔφη,
ὦ ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο, ὃ
καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμα-
σίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ
λυπηρόν, τῷ ἅμα μὲν αὐτὼ μὴ ἐθέλειν παρα-
γίγνεσθαι τῷ ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ τὸ
ἕτερον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεσθαι
λαμβάνειν καὶ τὸ ἕτερον, ὥσπερ ἐκ μιᾶς
κορυφῆς συνημμένω δύ᾽ ὄντε. καί μοι δοκεῖ,
ἔφη, | εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν C
συνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι
πολεμοῦντα, ἐπειδὴ οὐκ ἐδύνατο, συνῆψεν εἰς
ταὐτὸν αὐτοῖς τὰς κορυφάς, καὶ διὰ ταῦτα, ᾧ
ἂν τὸ ἕτερον παραγένηται, ἐπακολουθεῖ ὕστερον
καὶ τὸ ἕτερον. ὥσπερ οὖν καὶ αὐτῷ μοι
ἔοικεν· ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν ἐν τῷ σκέλει
τὸ ἀλγεινόν, ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν
τὸ ἡδύ.

The pain of bonds, the pleasure of release.

Ὁ οὖν Κέβης ὑπολαβών· Νὴ τὸν Δία, ὦ
Σώκρατες, ἔφη, εὖ γ᾽ ἐποίησας ἀνα-
μνήσας με. περὶ γάρ τοι τῶν ποιημά-
των | ὧν πεποίηκας, ἐντείνας τοὺς τοῦ D
Αἰσώπου λόγους καὶ τὸ εἰς τὸν Ἀπόλλω προοί-
μιον, καὶ ἄλλοι τινές με ἤδη ἤροντο, ἀτὰρ καὶ
Εὔηνος πρῴην, ὅ τι ποτὲ διανοηθείς, ἐπειδὴ
δεῦρο ἦλθες, ἐποίησας αὐτά, πρότερον οὐδὲν

Why Socrates composed verse in prison.

60 πώποτε ποιήσας. εἰ οὖν τί σοι μέλει τοῦ ἔχειν ἐμὲ Εὐήνῳ ἀποκρίνασθαι, ὅταν με αὖθις ἐρωτᾷ (εὖ οἶδα γὰρ ὅτι ἐρήσεται), εἰπέ, τί χρὴ λέγειν. Λέγε τοίνυν, ἔφη, αὐτῷ, ὦ Κέβης, τἀληθῆ, ὅτι οὐκ ἐκείνῳ βουλόμενος οὐδὲ τοῖς ποιήμασιν αὐτοῦ ἀντίτεχνος εἶναι ἐποίησα
E ταῦτα (ᾔδη | γὰρ ὡς οὐ ῥᾴδιον εἴη), ἀλλ' ἐνυπνίων τινῶν ἀποπειρώμενος, τί λέγει, καὶ ἀφοσιούμενος, εἰ πολλάκις ταύτην τὴν μουσικήν μοι ἐπιτάττοι ποιεῖν. ἦν γὰρ δὴ ἄττα τοιάδε· πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον ἐν τῷ παρελθόντι βίῳ, ἄλλοτ' ἐν ἄλλῃ ὄψει φαινόμενον, τὰ αὐτὰ δὲ λέγον· Ὦ Σώκρατες, ἔφη, μουσικὴν ποίει καὶ ἐργάζου. καὶ ἐγὼ ἔν γε τῷ πρόσθεν χρόνῳ, ὅπερ ἔπραττον, τοῦτο ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε |
61 καὶ ἐπικελεύειν, ὥσπερ οἱ τοῖς θέουσι διακελευόμενοι, καὶ ἐμοὶ οὕτω τὸ ἐνύπνιον, ὅπερ ἔπραττον, τοῦτο ἐπικελεύειν, μουσικὴν ποιεῖν, ὡς φιλοσοφίας μὲν οὔσης μεγίστης μουσικῆς, ἐμοῦ δὲ τοῦτο πράττοντος· νῦν δ' ἐπειδὴ ἥ τε δίκη ἐγένετο καὶ ἡ τοῦ θεοῦ ἑορτὴ διεκώλυέ με ἀποθνῄσκειν, ἔδοξε χρῆναι, εἰ ἄρα πολλάκις μοι προστάττοι τὸ ἐνύπνιον ταύτην τὴν δημώδη μουσικὴν ποιεῖν, μὴ ἀπειθῆσαι αὐτῷ, ἀλλὰ ποιεῖν. ἀσφαλέστερον γὰρ εἶναι μὴ ἀπιέναι
B πρὶν ἀφοσιώσασθαι ποιήσαντα | ποιήματα καὶ πειθόμενον τῷ ἐνυπνίῳ. οὕτω δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα, οὗ ἦν ἡ παροῦσα θυσία· μετὰ δὲ τὸν θεόν, ἐννοήσας ὅτι τὸν ποιητὴν δέοι, εἴπερ μέλλοι ποιητὴς εἶναι, ποιεῖν μύθους,

ἀλλ' οὐ λόγους (καὶ αὐτὸς οὐκ ἦ μυθολογικός) 61 διὰ ταῦτα δὴ οὓς προχείρους εἶχον καὶ ἠπιστάμην μύθους τοὺς Αἰσώπου, τούτους ἐποίησα, οἷς πρώτοις ἐνέτυχον.

The philosopher is willing to die, but may not kill himself.

Ταῦτα οὖν, ὦ Κέβης, Εὐήνῳ φράζε, καὶ ἐρρῶσθαι καί, ἂν σωφρονῇ, ἐμὲ διώκειν ὡς τάχιστα. ἄπειμι δέ, ὡς ἔοικε, | τήμερον· κελεύουσι γὰρ C Ἀθηναῖοι. καὶ ὁ Σιμμίας· Οἷον παρακελεύει, ἔφη, τοῦτο, ὦ Σώκρατες, Εὐήνῳ. πολλὰ γὰρ ἤδη ἐντετύχηκα τῷ ἀνδρί· σχεδὸν οὖν, ἐξ ὧν ἐγὼ ᾔσθημαι, οὐδ' ὁπωστιοῦν σοι ἑκὼν εἶναι πείσεται. Τί δέ; ἦ δ' ὅς, οὐ φιλόσοφος Εὔηνος; Ἔμοιγε δοκεῖ, ἔφη ὁ Σιμμίας. Ἐθελήσει τοίνυν καὶ Εὔηνος καὶ πᾶς, ὅτῳ ἀξίως τούτου τοῦ πράγματος μέτεστιν. οὐ μέντοι ἴσως βιάσεται αὑτόν· οὐ γάρ φασι θεμιτὸν εἶναι. καὶ ἅμα λέγων ταῦτα καθῆκε τὰ σκέλη ἐπὶ | τὴν γῆν, καὶ καθεζόμενος οὕτως D ἤδη τὰ λοιπὰ διελέγετο. ἤρετο οὖν αὐτὸν ὁ Κέβης· Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δ' ἂν τῷ ἀποθνῄσκοντι τὸν φιλόσοφον ἕπεσθαι; Τί δέ, ὦ Κέβης; οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων Φιλολάῳ συγγεγονότες; Οὐδέν γε σαφές, ὦ Σώκρατες. Ἀλλὰ μὴν καὶ ἐγὼ ἐξ ἀκοῆς περὶ αὐτῶν λέγω· ἃ μὲν οὖν τυγχάνω ἀκηκοώς, φθόνος οὐδεὶς λέγειν. καὶ γὰρ ἴσως καὶ μάλιστα πρέπει μέλλοντα ἐκεῖσε | ἀποδημεῖν διασκοπεῖν τε καὶ μυθολογεῖν περὶ E τῆς ἀποδημίας τῆς ἐκεῖ, ποίαν τινὰ αὐτὴν

61 οἰόμεθα εἶναι· τί γὰρ ἄν τις καὶ ποιοῖ ἄλλο
ἐν τῷ μέχρι ἡλίου δυσμῶν χρόνῳ;

Κατὰ τί δὴ οὖν ποτε οὔ φασι θεμιτὸν εἶναι
αὐτὸν ἑαυτὸν ἀποκτιννύναι, ὦ Σώκρατες; ἤδη
γὰρ ἔγωγε, ὅπερ νῦν δὴ σὺ ἤρου, καὶ Φιλολάου
ἤκουσα, ὅτε παρ᾽ ἡμῖν διῃτᾶτο, ἤδη δὲ καὶ
ἄλλων τινῶν, ὡς οὐ δέοι τοῦτο ποιεῖν· σαφὲς
δὲ περὶ αὐτῶν οὐδενὸς πώποτε οὐδὲν ἀκήκοα. |
62 Ἀλλὰ προθυμεῖσθαι χρή, ἔφη· τάχα γὰρ ἂν
καὶ ἀκούσαις. ἴσως μέντοι θαυμαστόν σοι
φανεῖται, εἰ τοῦτο μόνον τῶν ἄλλων ἁπάντων
ἁπλοῦν ἐστιν καὶ οὐδέποτε τυγχάνει τῷ ἀν-
θρώπῳ, ὥσπερ καὶ τἆλλα, ἔστιν ὅτε καὶ οἷς
βέλτιον τεθνάναι ἢ ζῆν· οἷς δὲ βέλτιον τεθνάναι,
θαυμαστὸν ἴσως σοι φαίνεται, εἰ τούτοις τοῖς
ἀνθρώποις μὴ ὅσιον αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν,
ἀλλὰ ἄλλον δεῖ περιμένειν εὐεργέτην. καὶ ὁ
Κέβης ἠρέμα ἐπιγελάσας, Ἴττω Ζεύς, ἔφη τῇ
αὑτοῦ φωνῇ εἰπών. Καὶ γὰρ ἂν δόξειεν, ἔφη
B ὁ Σωκράτης, | οὕτω γ᾽ εἶναι ἄλογον· οὐ μέντοι
ἀλλ᾽ ἴσως γ᾽ ἔχει τινὰ λόγον. ὁ μὲν οὖν ἐν
ἀπορρήτοις λεγόμενος περὶ αὐτῶν λόγος, ὡς ἔν
τινι φρουρᾷ ἐσμεν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ
ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ᾽ ἀποδιδράσκειν,
μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διιδεῖν·
οὐ μέντοι ἀλλὰ τόδε γέ μοι δοκεῖ, ὦ Κέβης,
εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελου-
μένους καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἓν
τῶν κτημάτων τοῖς θεοῖς εἶναι. ἢ
σοὶ οὐ δοκεῖ οὕτως; Ἔμοιγε, φησὶν

For we live in the care of the gods.

C ὁ Κέβης. Οὐκοῦν, ἦ δ᾽ ὅς, καὶ | σὺ ἂν τῶν

σαυτοῦ κτημάτων, εἴ τι αὐτὸ ἑαυτὸ ἀποκτιννύοι, 62
μὴ σημήναντός σου ὅτι βούλει αὐτὸ τεθνάναι,
χαλεπαίνοις ἂν αὐτῷ, καὶ εἴ τινα ἔχοις τιμω-
ρίαν, τιμωροῖο ἄν; Πάνυ γ', ἔφη. Ἴσως τοίνυν
ταύτῃ οὐκ ἄλογον, μὴ πρότερον αὑτὸν ἀποκτιν-
νύναι δεῖν, πρὶν ἀνάγκην τινὰ θεὸς ἐπιπέμψῃ,
ὥσπερ καὶ τὴν νῦν ἡμῖν παροῦσαν.

Ἀλλ' εἰκός, ἔφη ὁ Κέβης, τοῦτό γε φαίνεται.
ὃ μέντοι νῦν δὴ ἔλεγες, τὸ τοὺς φιλοσόφους
ῥᾳδίως ἂν ἐθέλειν ἀποθνῄσκειν, ἔοικεν τοῦτο,
ὦ Σώκρατες, ἀτόπῳ, | εἴπερ ὃ νῦν δὴ ἐλέγομεν D
εὐλόγως ἔχει, τὸ θεόν τε εἶναι τὸν ἐπιμελούμενον
ἡμῶν καὶ ἡμᾶς ἐκείνου κτήματα εἶναι. τὸ γὰρ
μὴ ἀγανακτεῖν τοὺς φρονιμωτάτους ἐκ ταύτης
τῆς θεραπείας ἀπιόντας, ἐν ᾗ ἐπι-
στατοῦσιν αὐτῶν οἵπερ ἄριστοί εἰσιν
τῶν ὄντων ἐπιστάται, θεοί, οὐκ ἔχει
λόγον. οὐ γάρ που αὐτός γε αὑτοῦ
οἴεται ἄμεινον ἐπιμελήσεσθαι ἐλεύθερος γενό-
μενος· ἀλλ' ἀνόητος μὲν ἄνθρωπος τάχ' ἂν
οἰηθείη ταῦτα, φευκτέον εἶναι ἀπὸ τοῦ δεσπότου,
καὶ οὐκ ἂν λογίζοιτο | ὅτι οὐ δεῖ ἀπό γε τοῦ E
ἀγαθοῦ φεύγειν, ἀλλ' ὅτι μάλιστα παραμένειν,
διὸ ἀλογίστως ἂν φεύγοι· ὁ δὲ νοῦν ἔχων ἐπι-
θυμοῖ που ἂν ἀεὶ εἶναι παρὰ τῷ αὑτοῦ βελτίονι.
καίτοι οὕτως, ὦ Σώκρατες, τοὐναντίον εἶναι εἰκὸς
ἢ ὃ νῦν δὴ ἐλέγετο· τοὺς μὲν γὰρ φρονίμους
ἀγανακτεῖν ἀποθνῄσκοντας πρέπει, τοὺς δ'
ἄφρονας χαίρειν. ἀκούσας οὖν ὁ Σωκράτης
ἡσθῆναί τέ μοι ἔδοξε τῇ τοῦ | Κέβητος πραγ- 63
ματείᾳ, καὶ ἐπιβλέψας εἰς ἡμᾶς· Ἀεί τοι, ἔφη,

Cebes: "Then why do you not rather repine at death?"

63 ὁ Κέβης λόγους τινὰς ἀνερευνᾷ, καὶ οὐ πάνυ εὐθέως ἐθέλει πείθεσθαι, ὅ τι ἄν τις εἴπῃ. καὶ ὁ Σιμμίας· Ἀλλὰ μήν, ἔφη, ὦ Σώκρατες, νῦν γέ μοι δοκεῖ τι καὶ αὐτῷ λέγειν Κέβης· τί γὰρ ἂν βουλόμενοι ἄνδρες σοφοὶ ὡς ἀληθῶς δεσπότας ἀμείνους αὑτῶν φεύγοιεν καὶ ῥᾳδίως ἀπαλλάττοιντο αὐτῶν; καί μοι δοκεῖ Κέβης εἰς σὲ τείνειν τὸν λόγον, ὅτι οὕτω ῥᾳδίως φέρεις καὶ ἡμᾶς ἀπολείπων καὶ ἄρχοντας ἀγαθούς, ὡς
B αὐτὸς ὁμολογεῖς, θεούς. | Δίκαια, ἔφη, λέγετε. οἶμαι γὰρ ὑμᾶς λέγειν ὅτι χρή με πρὸς ταῦτα ἀπολογήσασθαι ὥσπερ ἐν δικαστηρίῳ. Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας.

"Because I shall go to the abode of other wise and good gods, and perhaps of men."

Φέρε δή, ἦ δ' ὅς, πειραθῶ πιθανώτερον πρὸς ὑμᾶς ἀπολογήσασθαι ἢ πρὸς τοὺς δικαστάς. ἐγὼ γάρ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ ᾤμην ἥξειν πρῶτον μὲν παρὰ θεοὺς ἄλλους σοφούς τε καὶ ἀγαθούς, ἔπειτα καὶ παρ' ἀνθρώπους τετελευτηκότας ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἂν οὐκ ἀγανακτῶν τῷ θανάτῳ· νῦν δὲ εὖ
C ἴστε ὅτι | παρ' ἄνδρας τε ἐλπίζω ἀφίξεσθαι ἀγαθούς—καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διισχυρισαίμην· ὅτι μέντοι παρὰ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν, εὖ ἴστε ὅτι, εἴπερ τι ἄλλο τῶν τοιούτων, διισχυρισαίμην ἂν καὶ τοῦτο. ὥστε διὰ ταῦτα οὐχ ὁμοίως ἀγανακτῶ, ἀλλ' εὔελπίς εἰμι εἶναί τι τοῖς τετελευτηκόσι καί, ὥσπερ γε καὶ πάλαι λέγεται, πολὺ ἄμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς. Τί οὖν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες; αὐτὸς ἔχων τὴν διάνοιαν ταύτην

ἐν νῷ ἔχεις ἀπιέναι, ἢ κἂν ἡμῖν 63
μεταδοίης; | κοινὸν γὰρ δὴ ἔμοιγε D
δοκεῖ καὶ ἡμῖν εἶναι ἀγαθὸν τοῦτο, καὶ
ἅμα σοι ἀπολογία ἐστίν, ἐὰν ἅπερ λέγεις ἡμᾶς
πείσῃς. Ἀλλὰ πειράσομαι, ἔφη. πρῶτον δὲ
Κρίτωνα τόνδε σκεψώμεθα, τί ἐστιν ὃ βούλε-
σθαί μοι δοκεῖ πάλαι εἰπεῖν. Τί, ὦ Σώκρατες,
ἔφη ὁ Κρίτων, ἄλλο γε ἢ πάλαι μοι
λέγει ὁ μέλλων σοι δώσειν τὸ φάρ-
μακον, ὅτι χρή σοι φράζειν ὡς
ἐλάχιστα διαλέγεσθαι; φησὶ γὰρ θερ-
μαίνεσθαι μᾶλλον διαλεγομένους, δεῖν δὲ οὐδὲν
τοιοῦτον προσφέρειν τῷ φαρμάκῳ· εἰ δὲ μή, |
ἐνίοτε ἀναγκάζεσθαι καὶ δὶς καὶ τρὶς πίνειν E
τούς τι τοιοῦτον ποιοῦντας. καὶ ὁ Σωκράτης·
Ἔα, ἔφη, χαίρειν αὐτόν· ἀλλὰ μόνον τὸ ἑαυτοῦ
παρασκευαζέτω ὡς καὶ δὶς δώσων, ἐὰν δὲ δέῃ,
καὶ τρίς. Ἀλλὰ σχεδὸν μέν τι ᾔδη, ἔφη ὁ
Κρίτων· ἀλλά μοι πάλαι πράγματα παρέχει.
Ἔα αὐτόν, ἔφη.

Simmias: "The grounds of your belief?"

After an interruption and warning from the executioner—

Ἀλλ' ὑμῖν δὴ τοῖς δικασταῖς βούλομαι ἤδη
τὸν λόγον ἀποδοῦναι, ὥς μοι φαίνεται εἰκότως
ἀνὴρ τῷ ὄντι ἐν φιλοσοφίᾳ διατρίψας τὸν
βίον θαρρεῖν μέλλων | ἀποθανεῖσθαι, καὶ 64
εὔελπις εἶναι ἐκεῖ μέγιστα οἴσεσθαι
ἀγαθά, ἐπειδὰν τελευτήσῃ· πῶς ἂν οὖν
δὴ τοῦθ' οὕτως ἔχοι, ὦ Σιμμία τε καὶ Κέβης,
ἐγὼ πειράσομαι φράσαι.

Κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς
ἁπτόμενοι φιλοσοφίας λεληθέναι τοὺς
ἄλλους, ὅτι οὐδὲν ἄλλο αὐτοὶ ἐπιτη-

Socrates: I believe the philosopher

dies with courage and hope, because his life has been but an eager practice in dying, i.e.

64 δεύουσιν ἢ ἀποθνῄσκειν τε καὶ τεθνα
ναι. εἰ οὖν τοῦτο ἀληθές, ἄτοπο
δήπου ἂν εἴη προθυμεῖσθαι μὲν ε
παντὶ τῷ βίῳ μηδὲν ἄλλο ἢ τοῦτ
ἥκοντος δὲ δὴ αὐτοῦ ἀγανακτεῖν, ὃ πάλα
προεθυμοῦντό τε καὶ ἐπετήδευον. καὶ
Σιμμίας γελάσας· Νὴ τὸν Δία, ἔφη,
B Σώκρατες, | οὐ πάνυ γέ με νῦν γελασείοντ
ἐποίησας γελάσαι. οἶμαι γὰρ ἂν τοὺς πολλοὺ
αὐτὸ τοῦτο ἀκούσαντας δοκεῖν εὖ πάνυ εἰρῆσθα
εἰς τοὺς φιλοσοφοῦντας, καὶ ξυμφάναι ἂν τοὺ
μὲν παρ' ἡμῖν ἀνθρώπους καὶ πάνυ ὅτι τ
ὄντι οἱ φιλοσοφοῦντες θανατῶσι καὶ σφᾶς γ
οὐ λελήθασιν ὅτι ἄξιοί εἰσιν τοῦτο πάσχειν
Καὶ ἀληθῆ γ' ἂν λέγοιεν, ὦ Σιμμία, πλήν γ
τοῦ σφᾶς μὴ λεληθέναι. λέληθεν γὰρ αὐτοὺ
ᾗ τε θανατῶσι καὶ ᾗ ἄξιοί εἰσιν θανάτου κα
οἵου θανάτου οἱ ὡς ἀληθῶς φιλόσοφοι. εἴπωμε
C γάρ, | ἔφη, πρὸς ἡμᾶς αὐτούς, χαίρειν εἰπόντε
ἐκείνοις· ἡγούμεθά τι τὸν θάνατον εἶναι; Πάν
γε, ἔφη ὑπολαβὼν ὁ Σιμμίας. Ἆρα μὴ ἄλλ
τι ἢ τὴν τῆς ψυχῆς ἀπὸ το
σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτ
τὸ τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆ

in separating soul from body.

ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' αὑτὸ τὸ σῶμ
γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν ἀπὸ τοῦ σώματο
ἀπαλλαγεῖσαν αὐτὴν καθ' αὑτὴν εἶναι; ἆρα μ
ἄλλο τι ᾖ θάνατος ἢ τοῦτο; Οὔκ, ἀλλ
τοῦτο, ἔφη. Σκέψαι δή, ὦ ἀγαθέ, ἐὰν ἄρα κα
σοὶ ξυνδοκῇ ἅπερ ἐμοί. ἐκ γὰρ τούτων μᾶλ
D λον | οἶμαι ἡμᾶς εἴσεσθαι περὶ ὧν σκοπουμε

φαίνεταί σοι φιλοσόφου ἀνδρὸς εἶναι ἐσπουδακέναι περὶ τὰς ἡδονὰς καλουμένας τὰς τοιάσδε, οἷον σίτων τε καὶ ποτῶν; Ἥκιστα, ὦ Σώκρατες, ἔφη ὁ Σιμμίας. Τί δέ; τὰς τῶν ἀφροδισίων; Οὐδαμῶς. Τί δέ; τὰς ἄλλας τὰς περὶ τὸ σῶμα θεραπείας δοκεῖ σοι ἐντίμους ἡγεῖσθαι ὁ τοιοῦτος; οἷον ἱματίων διαφερόντων κτήσεις καὶ ὑποδημάτων καὶ τοὺς ἄλλους καλλωπισμοὺς τοὺς περὶ τὸ σῶμα πότερον τιμᾶν δοκεῖ σοι ἢ ἀτιμάζειν, καθ' ὅσον μὴ πολλὴ | ἀνάγκη E
μετέχειν αὐτῶν; Ἀτιμάζειν ἔμοιγε δοκεῖ, ἔφη, ὅ γε ὡς ἀληθῶς φιλόσοφος. Οὐκοῦν ὅλως δοκεῖ σοι, ἔφη, ἡ τοῦ τοιούτου πραγματεία οὐ περὶ τὸ σῶμα εἶναι, ἀλλὰ καθ' ὅσον δύναται ἀφεστάναι αὐτοῦ, πρὸς δὲ τὴν ψυχὴν τετράφθαι; Ἔμοιγε. Ἆρ' οὖν πρῶτον μὲν ἐν τοῖς τοιούτοις δῆλός ἐστιν ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα | τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος 65
κοινωνίας διαφερόντως τῶν ἄλλων ἀνθρώπων; Φαίνεται. Καὶ δοκεῖ γε δήπου, ὦ Σιμμία, τοῖς πολλοῖς ἀνθρώποις, ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων μηδὲ μετέχει αὐτῶν, οὐκ ἄξιον εἶναι ζῆν, ἀλλ' ἐγγύς τι τείνειν τοῦ τεθνάναι ὁ μηδὲν φροντίζων τῶν ἡδονῶν, αἳ διὰ τοῦ σώματός εἰσιν. Πάνυ μὲν οὖν ἀληθῆ λέγεις.

For, since the body's pleasures he has not sought,

Τί δὲ δὴ περὶ αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν; πότερον ἐμπόδιον τὸ σῶμα ἢ οὔ, ἐάν τις αὐτὸ ἐν τῇ ζητήσει κοινωνὸν συμπαραλαμβάνῃ; οἷον τὸ τοιόνδε | λέγω· ἆρα ἔχει ἀλήθειάν B

and since with its dull senses it but deceives and hinders the pleasure of the Soul in

65 her perception of Right and Beauty,

τινα ὄψις τε καὶ ἀκοὴ τοῖς ἀνθρώ-
ποις, ἢ τά γε τοιαῦτα καὶ οἱ ποιητα
ἡμῖν ἀεὶ θρυλοῦσιν, ὅτι οὔτ᾽ ἀκούομεν ἀκριβὲ
οὐδὲν οὔτε ὁρῶμεν; καίτοι εἰ αὗται τῶν περ
τὸ σῶμα αἰσθήσεων μὴ ἀκριβεῖς εἰσιν μηδ
σαφεῖς, σχολῇ αἵ γε ἄλλαι· πᾶσαι γάρ πο
τούτων φαυλότεραί εἰσιν· ἢ σοὶ οὐ δοκοῦσιν
Πάνυ μὲν οὖν, ἔφη. Πότε οὖν, ἦ δ᾽ ὅς,
ψυχὴ τῆς ἀληθείας ἅπτεται; ὅταν μὲν γὰ
μετὰ τοῦ σώματος ἐπιχειρῇ τι σκοπεῖν, δῆλο
C ὅτι τότε ἐξαπατᾶται ὑπ᾽ αὐτοῦ. | Ἀληθ
λέγεις. Ἆρ᾽ οὖν οὐκ ἐν τῷ λογίζεσθαι, εἴπε
που ἄλλοθι, κατάδηλον αὐτῇ γίγνεταί τι τῶ
ὄντων; Ναί. Λογίζεται δέ γέ που τότ
κάλλιστα, ὅταν αὐτὴν τούτων μηδὲν παραλυπῇ
μήτε ἀκοὴ μήτε ὄψις μήτε ἀλγηδὼν μηδέ τι
ἡδονή, ἀλλ᾽ ὅτι μάλιστα αὐτὴ καθ᾽ αὑτὴ
γίγνηται ἐῶσα χαίρειν τὸ σῶμα, καὶ (καθ
ὅσον δύναται) μὴ κοινωνοῦσα αὐτῷ μηδ
ἁπτομένη ὀρέγηται τοῦ ὄντος. Ἔστι ταῦτα
Οὐκοῦν καὶ ἐνταῦθα ἡ τοῦ φιλοσόφου ψυχ
D μάλιστα ἀτιμάζει | τὸ σῶμα καὶ φεύγει ἀπ
αὐτοῦ, ζητεῖ δὲ αὐτὴ καθ᾽ αὑτὴν γί-
γνεσθαι; Φαίνεται. Τί δὲ δὴ τὰ τοιάδε, ὦ
Σιμμία; φαμέν τι εἶναι δίκαιον αὐτὸ ἢ οὐδέν
Φαμὲν μέντοι νὴ Δία. Καὶ καλόν γέ τι κα
ἀγαθόν; Πῶς δ᾽ οὔ; Ἤδη οὖν πώποτέ τ
τῶν τοιούτων τοῖς ὀφθαλμοῖς εἶδες; Οὐδαμῶς
ἦ δ᾽ ὅς. Ἀλλ᾽ ἄλλῃ τινὶ αἰσθήσει τῶν δι
τοῦ σώματος ἐφήψω αὐτῶν; λέγω δὲ περ
πάντων, οἷον μεγέθους πέρι, ὑγιείας, ἰσχύος

καὶ τῶν ἄλλων ἑνὶ λόγῳ ἁπάντων τῆς οὐσίας, 65
ὃ τυγχάνει | ἕκαστον ὄν· ἆρα διὰ τοῦ σώματος E
αὐτῶν τὸ ἀληθέστατον θεωρεῖται, ἢ ὧδε ἔχει·
ὃς ἂν μάλιστα ἡμῶν καὶ ἀκριβέστατα παρα-
σκευάσηται αὐτὸ ἕκαστον διανοηθῆναι περὶ οὗ
σκοπεῖ, οὗτος ἂν ἐγγύτατα ἴοι τοῦ γνῶναι
ἕκαστον; Πάνυ μὲν οὖν. Ἆρ᾽ οὖν ἐκεῖνος
ἂν τοῦτο ποιήσειε καθαρώτατα, ὅστις ὅτι
μάλιστα αὐτῇ τῇ διανοίᾳ ἴοι ἐφ᾽ ἕκαστον, μήτε
τὴν ὄψιν παρατιθέμενος ἐν τῷ διανοεῖσθαι
μήτε τινὰ ἄλλην αἴσθησιν ἐφέλκων μηδεμίαν |
μετὰ τοῦ λογισμοῦ, ἀλλ᾽ αὐτῇ καθ᾽ αὑτὴν 66
εἰλικρινεῖ τῇ διανοίᾳ χρώμενος αὐτὸ καθ᾽ αὑτὸ
εἰλικρινὲς ἕκαστον ἐπιχειροῖ θηρεύειν τῶν
ὄντων, ἀπαλλαγεὶς ὅτι μάλιστα ὀφθαλμῶν τε
καὶ ὤτων καὶ ὡς ἔπος εἰπεῖν ξύμπαντος τοῦ
σώματος, ὡς ταράττοντος καὶ οὐκ ἐῶντος τὴν
ψυχὴν κτήσασθαι ἀλήθειάν τε καὶ φρόνησιν,
ὅταν κοινωνῇ; ἆρ᾽ οὐχ οὗτός ἐστιν, ὦ Σιμμία,
εἴπερ τις καὶ ἄλλος, ὁ τευξόμενος τοῦ ὄντος;
Ὑπερφυῶς, ἔφη ὁ Σιμμίας, ὡς ἀληθῆ λέγεις,
ὦ Σώκρατες.

Οὐκοῦν ἀνάγκη, | ἔφη, ἐκ πάντων τούτων B
παρίστασθαι δόξαν τοιάνδε τινὰ τοῖς
γνησίως φιλοσόφοις, ὥστε καὶ πρὸς
ἀλλήλους τοιαῦτα ἄττα λέγειν, ὅτι
κινδυνεύει τοι ὥσπερ ἀτραπός τις
ἐκφέρειν ἡμᾶς, ὅτι, ἕως ἂν τὸ σῶμα
ἔχωμεν μετὰ τοῦ λόγου ἐν τῇ σκέψει, καὶ
συμπεφυρμένη ᾖ ἡμῶν ἡ ψυχὴ μετὰ τοιούτου
κακοῦ, οὐ μή ποτε κτησώμεθα ἱκανῶς οὗ ἐπι-

death can appear to him only as a road to his goal—away from the body, the source of all his woes.

66 θυμοῦμεν· φαμὲν δὲ τοῦτο εἶναι τὸ ἀληθές·
μυρίας μὲν γὰρ ἡμῖν ἀσχολίας παρέχει τὸ
σῶμα διὰ τὴν ἀναγκαίαν τροφήν· ἔτι δέ, ἄν
C τινες | νόσοι προσπέσωσιν, ἐμποδίζουσιν ἡμῶν
τὴν τοῦ ὄντος θήραν. ἐρώτων δὲ καὶ ἐπι-
θυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν
καὶ φλυαρίας ἐμπίμπλησιν ἡμᾶς πολλῆς, ὥστε
τὸ λεγόμενον ὡς ἀληθῶς τῷ ὄντι ὑπ' αὐτοῦ
οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται οὐδέποτε οὐδέν.
καὶ γὰρ πολέμους καὶ στάσεις καὶ μάχας
οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου
ἐπιθυμίαι. διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν
πάντες οἱ πόλεμοι γίγνονται, τὰ δὲ χρήματα
D ἀναγκαζόμεθα κτᾶσθαι διὰ | τὸ σῶμα, δουλεύ-
οντες τῇ τούτου θεραπείᾳ· καὶ ἐκ τούτου
ἀσχολίαν ἄγομεν φιλοσοφίας πέρι διὰ πάντα
ταῦτα. τὸ δ' ἔσχατον πάντων ὅτι, ἐάν τις ἡμῖν
καὶ σχολὴ γένηται ἀπ' αὐτοῦ καὶ τραπώμεθα
πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς ζητήσεσιν αὖ
πανταχοῦ παραπῖπτον θόρυβον παρέχει καὶ
ταραχὴν καὶ ἐκπλήττει, ὥστε μὴ δύνασθαι ὑπ'
αὐτοῦ καθορᾶν τἀληθές, ἀλλὰ τῷ ὄντι ἡμῖν
δέδεικται ὅτι, εἰ μέλλομέν ποτε καθαρῶς τι
εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ καὶ αὐτῇ τῇ
E ψυχῇ θεατέον | αὐτὰ τὰ πράγματα· καὶ τότε,
ὡς ἔοικεν, ἡμῖν ἔσται οὗ ἐπιθυμοῦμέν τε καὶ
φαμεν ἐρασταὶ εἶναι, φρονήσεως, ἐπειδὰν
τελευτήσωμεν, ὡς ὁ λόγος σημαίνει, ζῶσιν δὲ
οὔ. εἰ γὰρ μὴ οἷόντε μετὰ τοῦ σώματος μηδὲν
καθαρῶς γνῶναι, δυοῖν θάτερον, ἢ οὐδαμοῦ
ἔστιν κτήσασθαι τὸ εἰδέναι ἢ τελευτήσασιν·

τότε γὰρ αὐτὴ καθ' αὑτὴν ἡ ψυχὴ ἔσται
χωρὶς | τοῦ σώματος, πρότερον δ' οὔ. καὶ ἐν 67
ᾧ ἂν ζῶμεν, οὕτως, ὡς ἔοικεν, ἐγγυτάτω
ἐσόμεθα τοῦ εἰδέναι, ἐὰν ὅτι μάλιστα μηδὲν
ὁμιλῶμεν τῷ σώματι μηδὲ κοινωνῶμεν, ὅτι μὴ
πᾶσα ἀνάγκη, μηδὲ ἀναπιμπλώμεθα τῆς τούτου
φύσεως, ἀλλὰ καθαρεύωμεν ἀπ' αὐτοῦ, ἕως ἂν
ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς· καὶ οὕτω μὲν
καθαροὶ ἀπαλλαττόμενοι τῆς τοῦ σώματος
ἀφροσύνης, ὡς τὸ εἰκός, μετὰ τοιούτων τε
ἐσόμεθα καὶ γνωσόμεθα δι' ἡμῶν αὐτῶν πᾶν
τὸ εἰλικρινές· τοῦτο δ' ἐστὶν ἴσως | τὸ ἀληθές. B
μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ
θεμιτὸν ᾖ. τοιαῦτα οἶμαι, ὦ Σιμμία, ἀναγκαῖον
εἶναι πρὸς ἀλλήλους λέγειν τε καὶ δοξάζειν
πάντας τοὺς ὀρθῶς φιλομαθεῖς. ἢ οὐ δοκεῖ
σοι οὕτως; Παντός γε μᾶλλον, ὦ Σώκρατες.

Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἰ ταῦτα ἀληθῆ,
ὦ ἑταῖρε, πολλὴ ἐλπὶς ἀφικομένῳ, οἷ ἐγὼ πορεύ-
ομαι, ἐκεῖ ἱκανῶς, εἴπερ που ἄλλοθι, κτήσασθαι
τοῦτο, οὗ ἕνεκα ἡ πολλὴ πραγματεία ἡμῖν ἐν
τῷ παρελθόντι βίῳ γέγονεν, ὥστε ἥ γε ἀποδημία
ἡ νῦν μοι | προστεταγμένη μετὰ ἀγαθῆς ἐλπίδος C
γίγνεται καὶ ἄλλῳ ἀνδρί, ὃς ἡγεῖταί οἱ παρ-
εσκευάσθαι τὴν διάνοιαν ὥσπερ κεκαθαρμένην.
Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας. Κάθαρσις δὲ εἶναι
ἆρα οὐ τοῦτο ξυμβαίνει, ὅπερ πάλαι
ἐν τῷ λόγῳ λέγεται, τὸ χωρίζειν ὅτι
μάλιστα ἀπὸ τοῦ σώματος τὴν ψυχὴν
καὶ ἐθίσαι αὐτὴν καθ' αὑτὴν πανταχόθεν ἐκ τοῦ σώματος συναγείρεσθαί τε καὶ

Death then being a purification and a separation for his soul

67 ἀθροίζεσθαι, καὶ οἰκεῖν κατὰ τὸ δυνατὸν καὶ ἐν
τῷ νῦν παρόντι καὶ ἐν τῷ ἔπειτα μόνην καθ'
D αὑτήν, | ἐκλυομένην ὥσπερ ἐκ δεσμῶν ἐκ τοῦ
σώματος; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν τοῦτό
γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς
ψυχῆς ἀπὸ σώματος; Παντάπασί γε, ἦ δ' ὅς.
Λύειν δέ γε αὐτήν, ὥς φαμεν, προθυμοῦνται
ἀεὶ μάλιστα καὶ μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς,
καὶ τὸ μελέτημα αὐτὸ τοῦτό ἐστιν τῶν
φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ
σώματος, ἢ οὔ; Φαίνεται. Οὐκοῦν, ὅπερ ἐν
ἀρχῇ ἔλεγον, γελοῖον ἂν εἴη ἄνδρα
παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ
E ὅτι ἐγγυτάτω ὄντα | τοῦ τεθνάναι οὕτω
ζῆν, κἄπειθ' ἥκοντος αὐτῷ τούτου ἀγανακτεῖν;
οὐ γελοῖον; Πῶς δ' οὔ; Τῷ ὄντι ἄρα, ἔφη,
ὦ Σιμμία, οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνῄσκειν
μελετῶσι, καὶ τὸ τεθνάναι ἥκιστα αὐτοῖς ἀνθρώ-
πων φοβερόν. ἐκ τῶνδε δὲ σκόπει. εἰ γὰρ
διαβέβληνται μὲν πανταχῇ τῷ σώματι, αὐτὴν
δὲ καθ' αὑτὴν ἐπιθυμοῦσι τὴν ψυχὴν ἔχειν,—
τούτου δὲ γιγνομένου εἰ φοβοῖντο καὶ ἀγανα-
κτοῖεν, οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ μὴ ἄσμενοι
68 ἐκεῖσε ἴοιεν, οἷ ἀφικομένοις ἐλπίς ἐστιν οὗ | διὰ
βίου ἤρων τυχεῖν (ἤρων δὲ φρονήσεως), ᾧ τε
διεβέβλητο, τούτου ἀπηλλάχθαι συνόντος
αὐτοῖς; ἢ ἀνθρωπίνων μὲν παιδικῶν καὶ γυναι-
κῶν καὶ υἱέων ἀποθανόντων πολλοὶ δὴ ἑκόντες
ἠθέλησαν εἰς Ἅιδου ἐλθεῖν, ὑπὸ ταύτης ἀγόμενοι
τῆς ἐλπίδος, τῆς τοῦ ὄψεσθαί τε ἐκεῖ ὧν
ἐπεθύμουν καὶ συνέσεσθαι· φρονήσεως δὲ ἄρα

is, as I said, the practice of the wise man's life.

τις τῷ ὄντι ἐρῶν, καὶ λαβὼν σφόδρα τὴν 68
αὐτὴν ταύτην ἐλπίδα, μηδαμοῦ ἄλλοθι ἐντεύξε-
σθαι αὐτῇ ἀξίως λόγου ἢ ἐν Ἅιδου, ἀγανακτήσει
τε ἀποθνήσκων | καὶ οὐχ ἄσμενος εἶσιν αὐτόσε; B
οἴεσθαί γε χρή, ἐὰν τῷ ὄντι γε ᾖ, ὦ ἑταῖρε,
φιλόσοφος· σφόδρα γὰρ αὐτῷ ταῦτα δόξει,
μηδαμοῦ ἄλλοθι καθαρῶς ἐντεύξεσθαι φρονήσει
ἀλλ' ἢ ἐκεῖ. εἰ δὲ τοῦτο οὕτως ἔχει, ὅπερ
ἄρτι ἔλεγον, οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ
φοβοῖτο τὸν θάνατον ὁ τοιοῦτος; Πολλὴ μέντοι
νὴ Δία, ἦ δ' ὅς.

He who repines is no philosopher.

Οὐκοῦν ἱκανόν σοι τεκμήριον, ἔφη, τοῦτο
ἀνδρός, ὃν ἂν ἴδῃς ἀγανακτοῦντα
μέλλοντα ἀποθανεῖσθαι, ὅτι οὐκ ἄρ'
ἦν φιλόσοφος ἀλλά τις φιλοσώματος;
ὁ αὐτὸς δέ | που οὗτος τυγχάνει ὢν καὶ C
φιλοχρήματος καὶ φιλότιμος, ἤτοι τὰ ἕτερα
τούτων ἢ ἀμφότερα. Πάνυ, ἔφη, ἔχει οὕτως,
ὡς λέγεις. Ἆρ' οὖν, ἔφη, ὦ Σιμμία, οὐ καὶ
ἡ ὀνομαζομένη ἀνδρεία τοῖς οὕτω διακειμένοις
μάλιστα προσήκει; Πάντως δήπου, ἔφη. Οὐκοῦν
καὶ ἡ σωφροσύνη, ἣν καὶ οἱ πολλοὶ ὀνομάζουσι
σωφροσύνην, τὸ περὶ τὰς ἐπιθυμίας μὴ ἐπτοῆ-
σθαι, ἀλλ' ὀλιγώρως ἔχειν καὶ κοσμίως, ἆρ'
οὐ τούτοις μόνοις προσήκει τοῖς μάλιστα τοῦ
σώματος ὀλιγωροῦσίν τε καὶ ἐν φιλοσοφίᾳ
ζῶσιν; | Ἀνάγκη, ἔφη. Εἰ γὰρ ἐθέλεις, ἦ δ' D
ὅς, ἐννοῆσαι τήν γε τῶν ἄλλων
ἀνδρείαν τε καὶ σωφροσύνην, δόξει
σοι εἶναι ἄτοπος. Πῶς δή, ὦ
Σώκρατες; Οἶσθα, ἦ δ' ὅς, ὅτι τὸν

There is a false bravery which is fear, and a false temperance which is license,

68 θάνατον ἡγοῦνται πάντες οἱ ἄλλοι τῶν μεγάλων κακῶν; Καὶ μάλ', ἔφη. Οὐκοῦν φόβῳ μειζόνων κακῶν ὑπομένουσιν αὐτῶν οἱ ἀνδρεῖοι τὸν θάνατον, ὅταν ὑπομένωσιν; Ἔστι ταῦτα. Τῷ δεδιέναι ἄρα καὶ δέει ἀνδρεῖοί εἰσι πάντες πλὴν οἱ φιλόσοφοι. καίτοι ἄλογόν γε δέει τινὰ καὶ

E δειλίᾳ ἀνδρεῖον εἶναι. Πάνυ | μὲν οὖν. Τί δὲ οἱ κόσμιοι αὐτῶν; οὐ ταὐτὸν τοῦτο πεπόνθασιν—ἀκολασίᾳ τινὶ σώφρονές εἰσιν; καίτοι φαμέν γε ἀδύνατον εἶναι, ἀλλ' ὅμως αὐτοῖς συμβαίνει τούτῳ ὅμοιον τὸ πάθος τὸ περὶ ταύτην τὴν εὐήθη σωφροσύνην· φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων ἀπέχονται ὑπ' ἄλλων κρατούμενοι. καίτοι καλοῦσί γε ἀκολασίαν τὸ ὑπὸ |

69 τῶν ἡδονῶν ἄρχεσθαι· ἀλλ' ὅμως συμβαίνει αὐτοῖς κρατουμένοις ὑφ' ἡδονῶν κρατεῖν ἄλλων ἡδονῶν. τοῦτο δ' ὅμοιόν ἐστιν ᾧ νῦν δὴ ἐλέγετο, τῷ τρόπον τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσωφρονίσθαι. Ἔοικε γάρ. Ὦ μακάριε Σιμμία, μὴ γὰρ οὐχ αὕτη ᾖ ἡ ὀρθὴ πρὸς ἀρετὴν ἀλλαγή, ἡδονὰς πρὸς ἡδονὰς καὶ λύπας πρὸς λύπας καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι, καὶ μείζω πρὸς ἐλάττω, ὥσπερ νομίσματα, ἀλλ' ᾖ ἐκεῖνο μόνον τὸ νόμισμα ὀρθόν, ἀντὶ οὗ δεῖ ἅπαντα ταῦτα καταλλάτ-

B τεσθαι, φρόνησις, | καὶ τούτου μὲν πάντα καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ καὶ ἀνδρεία καὶ σωφροσύνη καὶ δικαιοσύνη καὶ ξυλλήβδην ἀληθὴς ἀρετὴ μετὰ φρονήσεως, καὶ προσγιγνομένων καὶ ἀπογιγνο-

69 μένων καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων· χωριζόμενα δὲ φρονήσεως ἀλλαττόμενα ἀντὶ ἀλλήλων μὴ σκιαγραφία τις ᾖ ἡ τοιαύτη ἀρετὴ καὶ τῷ ὄντι ἀνδραποδώδης τε καὶ οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς ἔχῃ, τὸ δ' ἀληθὲς τῷ ὄντι ᾖ κάθαρσίς | τις τῶν τοιούτων C πάντων, καὶ ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη καὶ ἀνδρεία καὶ αὐτὴ ἡ φρόνησις μὴ καθαρμός τις ᾖ.

but the true virtues purify.

καὶ κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες οὐ φαῦλοι εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι ὅτι, ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. εἰσὶν γὰρ δή, ὥς φασιν οἱ περὶ τὰς τελετάς, πολλοὶ μὲν ναρθηκοφόροι, βάκχοι δέ τε παῦροι· οὗτοι δ' εἰσὶν | κατὰ τὴν ἐμὴν δόξαν οὐκ ἄλλοι ἢ οἱ πεφιλο- D σοφηκότες ὀρθῶς. ὧν δὴ καὶ ἐγὼ κατά γε τὸ δυνατὸν οὐδὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ παντὶ τρόπῳ προυθυμήθην γενέσθαι· εἰ δ' ὀρθῶς προυθυμήθην καί τι ἠνύσαμεν, ἐκεῖσε ἐλθόντες τὸ σαφὲς εἰσόμεθα, ἂν θεὸς ἐθέλῃ, ὀλίγον ὕστερον, ὡς ἐμοὶ δοκεῖ. ταῦτ' οὖν ἐγώ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, ἀπολογοῦμαι, ὡς εἰκότως ὑμᾶς τε ἀπολείπων καὶ τοὺς ἐνθάδε δεσπότας οὐ χαλεπῶς φέρω οὐδ' ἀγανακτῶ, ἡγούμενος κἀκεῖ | οὐδὲν ἧττον ἢ ἐνθάδε δεσπόταις τε E ἀγαθοῖς ἐντεύξεσθαι καὶ ἑταίροις· [τοῖς δὲ πολλοῖς ἀπιστίαν παρέχει·] εἴ τι οὖν ὑμῖν

This is the ground, friends, for my courage and hope.

69 πιθανώτερός εἰμι ἐν τῇ ἀπολογίᾳ ἢ τοῖς Ἀθηναίων δικασταῖς, εὖ ἂν ἔχοι.

* * * * * * *

84 D Καὶ ὁ Σιμμίας ἔφη. Καὶ μήν, ὦ Σώκρατες, τἀληθῆ σοι ἐρῶ. πάλαι γὰρ ἡμῶν ἑκάτερος ἀπορῶν τὸν ἕτερον προωθεῖ καὶ κελεύει ἐρέσθαι διὰ τὸ ἐπιθυμεῖν μὲν ἀκοῦσαι ὀκνεῖν δὲ ὄχλον παρέχειν, μή σοι ἀηδὲς ᾖ διὰ τὴν παροῦσαν συμφοράν. καὶ ὃς ἀκούσας ἐγέλασέν τε ἠρέμα καί φησιν· Βαβαί, ὦ Σιμμία· ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους

The song of the dying swan.

E ἀνθρώπους | πείσαιμι ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ᾽ ὑμᾶς δύναμαι πείθειν, ἀλλὰ φοβεῖσθε, μὴ δυσκολώτερόν τι νῦν διάκειμαι ἢ ἐν τῷ πρόσθεν βίῳ· καί, ὡς ἔοικε, τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἵ, ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν

85 χρόνῳ, τότε δὴ πλεῖστα | καὶ μάλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι, οὗπέρ εἰσι θεράποντες. οἱ δ᾽ ἄνθρωποι διὰ τὸ αὑτῶν δέος τοῦ θανάτου καὶ τῶν κύκνων καταψεύδονται, καί φασιν αὐτοὺς θρηνοῦντας τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν, καὶ οὐ λογίζονται ὅτι οὐδὲν ὄρνεον ᾄδει, ὅταν πεινῇ ἢ ῥιγῷ ἤ τινα ἄλλην λύπην λυπῆται, οὐδὲ αὐτὴ ἥ τε ἀηδὼν καὶ χελιδὼν καὶ ὁ ἔποψ, ἃ δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν· ἀλλ᾽ οὔτε ταῦτά μοι φαίνεται λυπούμενα ᾄδειν οὔτε οἱ κύκνοι,

B ἀλλ᾽ ἅτε, οἶμαι, | τοῦ Ἀπόλλωνος ὄντες μαντικοί

τέ εἰσι καὶ προειδότες τὰ ἐν Ἅιδου ἀγαθὰ 85
ᾄδουσι καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν
διαφερόντως ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ. ἐγὼ
δὲ καὶ αὐτὸς ἡγοῦμαι ὁμόδουλός τε εἶναι τῶν
κύκνων καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ, καὶ οὐ
χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ
δεσπότου, οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου
ἀπαλλάττεσθαι. ἀλλὰ τούτου γε ἕνεκα λέγειν
τε χρὴ καὶ ἐρωτᾶν ὅ τι ἂν βούλησθε, ἕως
Ἀθηναίων ἐῶσιν ἄνδρες ἕνδεκα.

Socrates' Death.

Τὸ μὲν οὖν ταῦτα | διισχυρίσασθαι οὕτως 114
ἔχειν, ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει D
νοῦν ἔχοντι ἀνδρί· ὅτι μέντοι ἢ ταῦτ᾽
ἐστὶν ἢ τοιαῦτ᾽ ἄττα περὶ τὰς ψυχὰς
ἡμῶν καὶ τὰς οἰκήσεις, ἐπείπερ ἀθάνατόν γε ἡ
ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέπειν μοι δοκεῖ
καὶ ἄξιον κινδυνεῦσαι οἰομένῳ οὕτως ἔχειν· καλὸς
γὰρ ὁ κίνδυνος· καὶ χρὴ τὰ τοιαῦτα ὥσπερ
ἐπᾴδειν ἑαυτῷ, διὸ δὴ ἔγωγε καὶ πάλαι μηκύνω
τὸν μῦθον. ἀλλὰ τούτων δὴ ἕνεκα θαρρεῖν χρὴ
περὶ τῇ ἑαυτοῦ ψυχῇ ἄνδρα, ὅστις ἐν τῷ βίῳ
τὰς μὲν ἄλλας ἡδονὰς | τὰς περὶ τὸ σῶμα καὶ E
τοὺς κόσμους εἴασε χαίρειν, ὡς ἀλλοτρίους τε
ὄντας, καὶ πλέον θάτερον ἡγησάμενος ἀπεργά-
ζεσθαι, τὰς δὲ περὶ τὸ μανθάνειν ἐσπούδασέ
τε καὶ κοσμήσας τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ
ἀλλὰ τῷ αὑτῆς κόσμῳ, σωφροσύνῃ τε καὶ
δικαιοσύνῃ καὶ ἀνδρείᾳ καὶ ἐλευθερίᾳ καὶ |

The good man therefore may have a fair hope.

115 ἀληθείᾳ, οὕτω περιμένει τὴν εἰς Ἅιδου πορείαν, ὡς πορευσόμενος ὅταν ἡ εἱμαρμένη καλῇ. ὑμεῖς μὲν οὖν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης καὶ οἱ ἄλλοι, εἰς αὖθις ἔν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε· ἐμὲ δὲ νῦν ἤδη καλεῖ, φαίη ἂν ἀνὴρ τραγικός, ἡ εἱμαρμένη, καὶ σχεδόν τί μοι ὥρα τραπέσθαι πρὸς τὸ λουτρόν· δοκεῖ γὰρ δὴ βέλτιον εἶναι λουσάμενον πιεῖν τὸ φάρμακον καὶ μὴ πράγματα ταῖς γυναιξὶ παρέχειν νεκρὸν λούειν.

Socrates last advice to his friends.

Ταῦτα δὴ εἰπόντος αὐτοῦ ὁ Κρίτων· Εἶεν, | B ἔφη, ὦ Σώκρατες· τί δὲ τούτοις ἢ ἐμοὶ ἐπιστέλλεις ἢ περὶ τῶν παίδων ἢ περὶ ἄλλου του, ὅ τι ἂν σοι ποιοῦντες ἡμεῖς ἐν χάριτι μάλιστα ποιοῖμεν; Ἅπερ ἀεὶ λέγω, ἔφη, ὦ Κρίτων, οὐδὲν καινότερον—ὅτι ὑμῶν αὐτῶν ἐπιμελούμενοι ὑμεῖς καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἐν χάριτι ποιήσετε ἅττ' ἂν ποιῆτε κἂν μὴ νῦν ὁμολογήσητε· ἐὰν δὲ ὑμῶν μὲν αὐτῶν ἀμελῆτε καὶ μὴ 'θέλητε ὥσπερ κατ' ἴχνη κατὰ τὰ νῦν τε εἰρημένα καὶ τὰ ἐν τῷ ἔμπροσθεν χρόνῳ ζῆν, οὐδὲ ἐὰν C πολλὰ ὁμολογήσητε | ἐν τῷ παρόντι καὶ σφόδρα, οὐδὲν πλέον ποιήσετε. Ταῦτα μὲν τοίνυν προθυμηθησόμεθα, ἔφη, οὕτω ποιεῖν· θάπτωμεν δέ σε τίνα τρόπον;

How to dispose of his body.

Ὅπως ἄν, ἔφη, βούλησθε, ἐάνπερ γε λάβητέ με καὶ μὴ ἐκφύγω ὑμᾶς. γελάσας δὲ ἅμα ἡσυχῇ καὶ πρὸς ἡμᾶς ἀποβλέψας εἶπεν· Οὐ πείθω, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι οὗτος Σωκράτης, ὁ νυνὶ διαλεγόμενος καὶ διατάτ-

των ἕκαστον τῶν λεγομένων, ἀλλ' οἴεταί με 115
ἐκεῖνον εἶναι, ὃν ὄψεται ὀλίγον ὕστερον νεκρόν,
καὶ ἐρωτᾷ δή, | πῶς με θάπτῃ. ὅτι δὲ ἐγὼ D
πάλαι πολὺν λόγον πεποίημαι, ὡς, ἐπειδὰν
πίω τὸ φάρμακον, οὐκέτι ὑμῖν παραμενῶ, ἀλλ'
οἰχήσομαι ἀπιὼν εἰς μακάρων δή τινας εὐδαι-
μονίας, ταῦτά μοι δοκῶ αὐτῷ ἄλλως λέγειν,
παραμυθούμενος ἅμα μὲν ὑμᾶς, ἅμα δ' ἐμαυτόν.
ἐγγυήσασθε οὖν με πρὸς Κρίτωνα, ἔφη, τὴν
ἐναντίαν ἐγγύην ἢ ἣν οὗτος πρὸς τοὺς δικαστὰς
ἠγγυᾶτο. οὗτος μὲν γὰρ ἦ μὴν παραμενεῖν·
ὑμεῖς δὲ ἦ μὴν μὴ παραμενεῖν ἐγγυήσασθε,
ἐπειδὰν ἀποθάνω, ἀλλὰ οἰχήσεσθαι | ἀπιόντα, E
ἵνα Κρίτων ῥᾷον φέρῃ καὶ μὴ ὁρῶν μου τὸ
σῶμα ἢ καιόμενον ἢ κατορυττόμενον ἀγανακτῇ
ὑπὲρ ἐμοῦ ὡς δεινὰ πάσχοντος, μηδὲ λέγῃ ἐν
τῇ ταφῇ, ὡς ἢ προτίθεται Σωκράτη ἢ ἐκφέρει
ἢ κατορύττει. εὖ γὰρ ἴσθι, ἦ δ' ὅς, ὦ ἄριστε
Κρίτων, τὸ μὴ καλῶς λέγειν οὐ μόνον εἰς
αὐτὸ τοῦτο πλημμελές, ἀλλὰ καὶ κακόν τι
ἐμποιεῖ ταῖς ψυχαῖς. ἀλλὰ θαρρεῖν τε χρὴ
καὶ φάναι τοὐμὸν σῶμα θάπτειν, καὶ θάπτειν
οὕτως, | ὅπως ἄν σοι φίλον ᾖ καὶ μάλιστα 116
ἡγῇ νόμιμον εἶναι.

Ταῦτ' εἰπὼν ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ, ἡμᾶς δ' ἐκέλευε περιμένειν. περιεμένομεν οὖν πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων καὶ ἀνασκοποῦντες, τοτὲ δ' αὖ περὶ τῆς ξυμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγούμενοι ὥσπερ πατρὸς στερηθέντες

116 διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον. ἐπειδὴ δὲ
B ἐλούσατο | καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία (δύο γὰρ αὐτῷ ὑεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας) καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ

His wife and children say farewell.

Κρίτωνος διαλεχθείς τε καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν, αὐτὸς δὲ ἧκε παρ' ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. ἐλθὼν δ' ἐκαθέζετο λελουμένος, καὶ οὐ πολλὰ μετὰ ταῦτα διελέχθη. καὶ ἧκεν ὁ τῶν ἕνδεκα ὑπηρέτης καὶ στὰς
C παρ' αὐτόν· Ὦ Σώκρατες, | ἔφη, οὐ καταγνώσομαι σοῦ ὅπερ ἄλλων καταγιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγέλλω πίνειν τὸ φάρμακον ἀναγκαζόντων τῶν ἀρχόντων. σὲ δὲ ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ τῷ χρόνῳ γενναιότατον καὶ πρᾳότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις (γιγνώσκεις γὰρ τοὺς αἰτίους), ἀλλὰ ἐκείνοις. νῦν, οἶσθα γὰρ ἃ ἦλθον ἀγγέλλων, χαῖρέ τε

The executioner comes.

D καὶ πειρῶ ὡς ῥᾷστα φέρειν | τὰ ἀναγκαῖα. καὶ ἅμα δακρύσας μεταστρεφόμενος ἀπῄει. καὶ ὁ Σωκράτης ἀναβλέψας πρὸς αὐτόν· Καὶ σύ, ἔφη, χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιήσομεν. καὶ ἅμα πρὸς ἡμᾶς· Ὡς ἀστεῖος, ἔφη, ὁ ἄνθρωπος· καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει καὶ διελέγετο ἐνίοτε καὶ ἦν ἀνδρῶν λῷστος, καὶ νῦν ὡς γενναίως με ἀποδακρύει. ἀλλ' ἄγε δή,

ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω τις 116
τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μή, τριψάτω
ὁ ἄνθρωπος. καὶ ὁ Κρίτων· Ἀλλ' οἶμαι, |
ἔφη, ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ E
τοῖς ὄρεσιν καὶ οὔπω δεδυκέναι. καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα, καὶ ξυγγενομένους γ' ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες. ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ. καὶ ὁ Σωκράτης· Εἰκότως γε, ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν, οὓς σὺ λέγεις (οἴονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες), καὶ ἔγωγε ταῦτα εἰκότως
οὐ ποιήσω· οὐδὲν γὰρ οἶμαι κερδανεῖν | ὀλίγον 117
ὕστερον πιὼν ἄλλο γε ἢ γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος οὐδενὸς ἔτι ἐνόντος. ἀλλ' ἴθι, ἔφη, πιθοῦ καὶ μὴ ἄλλως ποίει.

The hemlock is brought.

Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι. καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας ἧκεν ἄγων τὸν μέλλοντα διδόναι τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον· ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον· Εἶεν, ἔφη, ὦ βέλτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν; Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιιέναι, ἕως ἄν σου
βάρος ἐν τοῖς σκέλεσι γένηται, | ἔπειτα κατα- B
κεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσει. καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει· καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ

117 προσώπου, ἀλλ', ὥσπερ εἰώθει, ταυρηδὸν
ὑποβλέψας πρὸς τὸν ἄνθρωπον· Τί λέγεις,
ἔφη, περὶ τοῦδε τοῦ πώματος πρὸς τὸ ἀπο-
σπεῖσαί τινι; ἔξεστιν ἢ οὔ; Τοσοῦτον, ἔφη,
ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον
εἶναι πιεῖν. Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὔχεσθαί
C γέ που τοῖς θεοῖς ἔξεστί τε καὶ
χρή, τὴν μετοίκησιν τὴν ἐνθένδε
ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί
τε καὶ γένοιτο ταύτῃ. καὶ ἅμ' εἰπὼν ταῦτα
ἐπισχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως
ἐξέπιεν. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς
οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν, ὡς δὲ
εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ'
ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ ἀστακτὶ ἐχώρει τὰ
δάκρυα, ὥστε ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν·
οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην,
D οἵου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. ὁ δὲ
Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν
κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος
δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο
δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος
κλαίων καὶ ἀγανακτῶν οὐδένα ὅντινα οὐ
κατέκλασε τῶν παρόντων πλήν γε αὐτοῦ
Σωκράτους. ἐκεῖνος δέ· Οἷα, ἔφη, ποιεῖτε, ὦ
θαυμάσιοι. ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου
ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα
πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ
E χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ
καρτερεῖτε. καὶ ἡμεῖς ἀκούσαντες ᾐσχύνθημέν
τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. ὁ δὲ περιελ-

The final prayer.

θών, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, 117
κατεκλίνη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος· καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος· ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα ἤρετο, εἰ αἰσθάνοιτο·
ὁ δ' οὐκ ἔφη· καὶ μετὰ τοῦτο αὖθις | τὰς 118
κνήμας· καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο, ὅτι ψύχοιτό τε καὶ πηγνῦτο. καὶ αὐτὸς ἥπτετο καὶ εἶπεν ὅτι, ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα, καὶ ἐκκαλυψάμενος (ἐνεκεκάλυπτο γάρ) εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο· Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλὰ ἀπόδοτε καὶ μὴ ἀμελήσητε. Ἀλλὰ ταῦτα, ἔφη, ἔσται, ὁ Κρίτων· Ἀλλ' ὅρα, εἴ τι ἄλλο λέγεις. ταῦτα ἐρομένου αὐτοῦ οὐδὲν ἔτι ἀπεκρίνατο, ἀλλ' ὀλίγον χρόνον διαλιπὼν ἐκινήθη τε καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν, καὶ ὃς τὰ ὄμματα ἔστησεν· ἰδὼν δὲ ὁ Κρίτων συνέλαβε τὸ στόμα καὶ τοὺς ὀφθαλμούς.

The last charge—"a cock to Aesculapius."

Ἥδε ἡ τελευτή, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρός, ὡς ἡμεῖς φαῖμεν ἄν, τῶν τότε ὧν ἐπειράθημεν ἀρίστου καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

SYMPOSIUM

Socrates' Abstraction—Late to the Banquet.

174 Τοιαῦτ' ἄττα σφᾶς ἔφη διαλεχθέντας ἰέναι.
D τὸν οὖν Σωκράτη ἑαυτῷ πως προσέχοντα τὸν νοῦν κατὰ τὴν ὁδὸν πορεύεσθαι ὑπολειπόμενον, καὶ περιμένοντος οὗ κελεύειν προϊέναι εἰς τὸ πρόσθεν. ἐπειδὴ δὲ γενέσθαι ἐπὶ τῇ οἰκίᾳ τῇ Ἀγάθωνος, ἀνεῳγμένην
E καταλαμβάνειν τὴν θύραν, καί τι ἔφη αὐτόθι γελοῖον παθεῖν. οἷ μὲν γὰρ εὐθὺς παῖδά τινα ἔνδοθεν ἀπαντήσαντα ἄγειν οὗ κατέκειντο οἱ ἄλλοι, καὶ καταλαμβάνειν ἤδη μέλλοντας δειπνεῖν· εὐθὺς δ' οὖν ὡς ἰδεῖν τὸν Ἀγάθωνα, Ὦ, φάναι, Ἀριστόδημε, εἰς καλὸν ἥκεις, ὅπως συνδειπνήσῃς· εἰ δ' ἄλλου τινὸς ἕνεκα ἦλθες, εἰς αὖθις ἀναβαλοῦ, ὡς καὶ χθὲς ζητῶν σε, ἵνα καλέσαιμι, οὐχ οἷός τ' ἢ ἰδεῖν. ἀλλὰ Σωκράτη ἡμῖν πῶς οὐκ ἄγεις; καὶ ἐγώ, ἔφη, μεταστρεφόμενος οὐδαμοῦ ὁρῶ Σωκράτη ἑπόμενον· εἶπον οὖν ὅτι καὶ αὐτὸς μετὰ Σωκράτους ἥκοιμι, κληθεὶς ὑπ' ἐκείνου δεῦρ' ἐπὶ δεῖπνον. Καλῶς γ', ἔφη, ποιῶν σύ· ἀλλὰ ποῦ ἔστιν οὗτος; Ὄπισθεν
175 ἐμοῦ ἄρτι | εἰσῄει· ἀλλὰ θαυμάζω καὶ αὐτός, ποῦ ἂν εἴη. Οὐ σκέψει, ἔφη, παῖ, φάναι τὸν Ἀγάθωνα, καὶ εἰσάξεις Σωκράτη; σὺ δ', ἦ δ' ὅς, Ἀριστόδημε, παρ' Ἐρυξίμαχον κατακλίνου. καὶ ἓ μὲν ἔφη ἀπονίζειν τὸν παῖδα, ἵνα κατακέοιτο· ἄλλον δέ τινα τῶν παίδων ἥκειν ἀγγέλλοντα ὅτι Σωκράτης

Aristodemus tells the story.

Socrates is lost;

οὗτος ἀναχωρήσας ἐν τῷ τῶν γειτόνων προθύρῳ 175
ἕστηκεν καὶ οὗ καλοῦντος οὐκ ἐθέλει εἰσιέναι.
Ἄτοπόν γ', ἔφη, λέγεις· οὔκουν καλεῖς αὐτὸν
καὶ μὴ ἀφήσεις; | καὶ ὃς ἔφη εἰπεῖν Μηδαμῶς, B
ἀλλ' ἐᾶτε αὐτόν. ἔθος γάρ τι τοῦτ' ἔχει·
ἐνίοτε ἀποστὰς ὅποι ἂν τύχῃ ἕστηκεν. ἥξει
δ' αὐτίκα, ὡς ἐγὼ οἶμαι. μὴ οὖν κινεῖτε, ἀλλ'
ἐᾶτε. Ἀλλ' οὕτω χρὴ ποιεῖν, εἰ σοὶ δοκεῖ,
φάναι τὸν Ἀγάθωνα. ἀλλ' ἡμᾶς, ὦ παῖδες,
τοὺς ἄλλους ἑστιᾶτε. πάντως παρατίθετε ὅ τι
ἂν βούλησθε, ἐπειδάν τις ὑμῖν μὴ ἐφεστήκῃ·
ὃ ἐγὼ οὐδεπώποτε ἐποίησα· νῦν οὖν, νομίζοντες
καὶ ἐμὲ ὑφ' ὑμῶν κεκλῆσθαι ἐπὶ δεῖπνον καὶ
τούσδε | τοὺς ἄλλους, θεραπεύετε, ἵν' ὑμᾶς ἐπαι- C
νῶμεν.

Μετὰ ταῦτα ἔφη σφᾶς μὲν δειπνεῖν, τὸν δὲ
Σωκράτη οὐκ εἰσιέναι. τὸν οὖν Ἀγάθωνα
πολλάκις κελεύειν μεταπέμψασθαι τὸν Σωκράτη,
ἓ δὲ οὐκ ἐᾶν. ἥκειν οὖν αὐτὸν οὐ πολὺν
χρόνον, ὡς εἰώθει, διατρίψαντα, ἀλλὰ
μάλιστα σφᾶς μεσοῦν δειπνοῦντας.

but comes at last.

τὸν οὖν Ἀγάθωνα (τυγχάνειν γὰρ ἔσχατον
κατακείμενον μόνον), Δεῦρ', ἔφη φάναι, Σώ-
κρατες, παρ' ἐμὲ κατάκεισο, ἵνα καὶ τοῦ σοφοῦ
ἀπολαύσω, ὅ σοι προσέστη ἐν τοῖς προθύροις. D
δῆλον γὰρ ὅτι ηὗρες αὐτὸ καὶ ἔχεις· οὐ γὰρ
ἂν προαπέστης. καὶ τὸν Σωκράτη καθίζεσθαι
καὶ εἰπεῖν ὅτι Εὖ ἂν ἔχοι, φάναι, ὦ Ἀγάθων,
εἰ τοιοῦτον εἴη ἡ σοφία, ὥστ' ἐκ τοῦ πληρε-
στέρου εἰς τὸν κενότερον ῥεῖν ἡμῶν, ἐὰν ἁπτώμεθα
ἀλλήλων, ὥσπερ τὸ ἐν ταῖς κύλιξιν ὕδωρ τὸ

175 διὰ τοῦ ἐρίου ῥέον ἐκ τῆς πληρεστέρας εἰς τὴν κενοτέραν. εἰ γὰρ οὕτως ἔχει καὶ ἡ σοφία, E πολλοῦ τιμῶμαι τὴν παρὰ | σοὶ κατάκλισιν· οἶμαι γάρ με παρὰ σοῦ πολλῆς καὶ καλῆς σοφίας πληρωθήσεσθαι. ἡ μὲν γὰρ ἐμὴ φαύλη τις ἂν εἴη καὶ ἀμφισβητήσιμος, ὥσπερ ὄναρ οὖσα, ἡ δὲ σὴ λαμπρά τε καὶ πολλὴν ἐπίδοσιν ἔχουσα, ἥ γε παρὰ σοῦ νέου ὄντος οὕτω σφόδρα ἐξέλαμψεν καὶ ἐκφανὴς ἐγένετο πρῴην ἐν μάρτυσι τῶν Ἑλλήνων πλεῖν ἢ τρισμυρίοις. Ὑβριστὴς εἶ, ἔφη, ὦ Σώκρατες, ὁ Ἀγάθων. καὶ ταῦτα μὲν καὶ ὀλίγον ὕστερον διαδικασόμεθα ἐγώ τε καὶ σὺ περὶ τῆς σοφίας, δικαστῇ χρώμενοι τῷ Διονύσῳ· νῦν δὲ πρὸς τὸ δεῖπνον πρῶτα τρέπου.

Socrates' Ugliness—A Silenus.

Alcibiades

215 A Σωκράτη δ' ἐγὼ ἐπαινεῖν, ὦ ἄνδρες, οὕτως ἐπιχειρήσω,—δι' εἰκόνων. οὗτος μὲν οὖν ἴσως οἰήσεται ἐπὶ τὰ γελοιότερα, ἔσται δ' ἡ εἰκὼν τοῦ ἀληθοῦς ἕνεκα, οὐ τοῦ γελοίου. φημὶ γὰρ B δὴ ὁμοιότατον αὐτὸν εἶναι τοῖς σιληνοῖς τούτοις τοῖς ἐν τοῖς ἑρμογλυφείοις καθημένοις, οὕστινας ἐργάζονται οἱ δημιουργοὶ σύριγγας ἢ αὐλοὺς ἔχοντας, οἳ διχάδε διοιχθέντες φαίνονται ἔνδοθεν ἀγάλματα ἔχοντες θεῶν. καί φημι αὖ ἐοικέναι αὐτὸν τῷ σατύρῳ τῷ Μαρσύᾳ. ὅτι μὲν οὖν τό γε εἶδος ὅμοιος εἶ τούτοις, ὦ Σώκρατες, οὐδ' αὐτὸς ἄν που ἀμφισβητήσαις· ὡς δὲ καὶ τἆλλα ἔοικας, μετὰ τοῦτο ἄκουε.

A Satyr in form.

ὑβριστὴς εἶ· ἢ οὔ; ἐὰν γὰρ μὴ ὁμολογῇς, 215
μάρτυρας παρέξομαι. ἀλλ' οὐκ αὐλητής; πολύ
γε θαυμασιώτερος ἐκείνου· ὁ μέν | γε δι' ὀργάνων C
ἐκήλει τοὺς ἀνθρώπους τῇ ἀπὸ τοῦ στόματος
δυνάμει, καὶ ἔτι νυνὶ ὃς ἂν τὰ ἐκείνου αὐλῇ
(ἃ γὰρ Ὄλυμπος ηὔλει, Μαρσύου λέγω,—τούτου
διδάξαντος). τὰ οὖν ἐκείνου ἐάντε ἀγαθὸς
αὐλητὴς αὐλῇ ἐάντε φαύλη αὐλητρίς, μόνα
κατέχεσθαι ποιεῖ καὶ δηλοῖ τοὺς τῶν θεῶν τε
καὶ τελετῶν δεομένους διὰ τὸ θεῖα εἶναι. σὺ
δ' ἐκείνου τοσοῦτον μόνον διαφέρεις, ὅτι ἄνευ
ὀργάνων ψιλοῖς λόγοις ταὐτὸν τοῦτο
ποιεῖς. ἡμεῖς γοῦν ὅταν μέν του |

But a charmer in speech.

ἄλλου ἀκούωμεν λέγοντος καὶ πάνυ ἀγαθοῦ D
ῥήτορος ἄλλους λόγους, οὐδὲν μέλει, ὡς ἔπος
εἰπεῖν, οὐδενί· ἐπειδὰν δὲ σοῦ τις ἀκούῃ ἢ τῶν
σῶν λόγων ἄλλου λέγοντος, κἂν πάνυ φαῦλος
ᾖ ὁ λέγων, ἐάντε γυνὴ ἀκούῃ ἐάντε ἀνὴρ ἐάντε
μειράκιον, ἐκπεπληγμένοι ἐσμὲν καὶ κατεχόμεθα.
ἐγὼ γοῦν, ὦ ἄνδρες, εἰ μὴ ἔμελλον κομιδῇ
δόξειν μεθύειν, εἶπον ὀμόσας ἂν ὑμῖν, οἷα δὴ
πέπονθα αὐτὸς ὑπὸ τῶν τούτου λόγων καὶ
πάσχω ἔτι καὶ νυνί. ὅταν γὰρ ἀκούω, | πολύ E
μοι μᾶλλον ἢ τῶν κορυβαντιώντων ἥ τε καρδία
πηδᾷ καὶ δάκρυα ἐκχεῖται ὑπὸ τῶν λόγων
τούτου. ὁρῶ δὲ καὶ ἄλλους παμπόλλους τὰ
αὐτὰ πάσχοντας. Περικλέους δὲ ἀκούων καὶ
ἄλλων ἀγαθῶν ῥητόρων εὖ μὲν ἡγούμην
λέγειν, τοιοῦτον δ' οὐδὲν ἔπασχον, οὐδ'
τεθορύβητό μου ἡ ψυχὴ οὐδ' ἠγανάκτει ὡς
ἀνδραποδώδως διακειμένου· ἀλλ' ὑπὸ τουτουὶ

None like him.

τοῦ Μαρσύου πολλάκις δὴ οὕτω διετέθην,
216 ὥστε μοι δόξαι μὴ βιωτὸν εἶναι ἔχοντι ὡ
ἔχω. καὶ ταῦτα, Σώκρατες, οὐκ ἐρεῖς ὡς οὐ
ἀληθῆ. καὶ ἔτι γε νῦν ξύνοιδ' ἐμαυτῷ ὅτι ε
ἐθέλοιμι παρέχειν τὰ ὦτα, οὐκ ἂν καρτερήσαιμ
ἀλλὰ ταὐτὰ ἂν πάσχοιμι. ἀναγκάζει γάρ μ
ὁμολογεῖν ὅτι πολλοῦ ἐνδεὴς ὢν αὐτὸς ἔτ
ἐμαυτοῦ μὲν ἀμελῶ, τὰ δ' Ἀθηναίων πράττω
βίᾳ οὖν ὥσπερ ἀπὸ τῶν Σειρήνων ἐπισχόμενο
τὰ ὦτα οἴχομαι φεύγων, ἵνα μὴ αὐτοῦ καθή
μενος παρὰ τούτῳ καταγηράσω. πέπονθα δ
B πρὸς τοῦτον μόνον ἀνθρώπων, | ὃ οὐκ ἄν τι
οἴοιτο ἐν ἐμοὶ ἐνεῖναι, τὸ αἰσχύνεσθαι ὁντινοῦν
ἐγὼ δὲ τοῦτον μόνον αἰσχύνομαι. ξύνοιδα γὰ
ἐμαυτῷ ἀντιλέγειν μὲν οὐ δυναμένῳ, ὡς οὐ δε
ποιεῖν ἃ οὗτος κελεύει, ἐπειδὰν δὲ ἀπέλθω
ἡττημένῳ τῆς τιμῆς τῆς ὑπὸ τῶν πολλῶν
δραπετεύω οὖν αὐτὸν καὶ φεύγω, καὶ ὅταν ἴδω
αἰσχύνομαι τὰ ὡμολογημένα. καὶ πολλάκι
C μὲν ἡδέως | ἂν ἴδοιμι αὐτὸν μὴ ὄντα ἐν ἀνθρώ
ποις· εἰ δ' αὖ τοῦτο γένοιτο, εὖ οἶδα ὅτι πολ
μεῖζον ἂν ἀχθοίμην· ὥστε οὐκ ἔχω ὅ τι χρήσω
μαι τούτῳ τῷ ἀνθρώπῳ.

Socrates' Endurance and Bravery as a Soldier

Alcibiades.

219 Καὶ μετὰ ταῦτα στρατεία ἡμῖν εἰς Ποτεί
E δαιαν ἐγένετο κοινὴ καὶ συνεσιτοῦμε
In Poteidaea.
ἐκεῖ. πρῶτον μὲν οὖν τοῖς πόνοις ο
μόνον ἐμοῦ περιῆν, ἀλλὰ καὶ τῶν ἄλλω

ἁπάντων—ὁπότ' ἀναγκασθείημεν ἀποληφθέντες
που, οἷα δὴ | ἐπὶ στρατείας, ἀσιτεῖν, οὐδὲν 220
ἦσαν οἱ ἄλλοι πρὸς τὸ καρτερεῖν· ἔν τ' αὖ
ταῖς εὐωχίαις μόνος ἀπολαύειν οἷός τ' ἦν τά τ'
ἄλλα καὶ πίνειν (οὐκ ἐθέλων) ὁπότε ἀναγ-
κασθείη, πάντας ἐκράτει, καὶ ὃ πάντων θαυ-
μαστότατον, Σωκράτη μεθύοντα οὐδεὶς πώποτε
ἑώρακεν ἀνθρώπων. τούτου μὲν οὖν μοι δοκεῖ
καὶ αὐτίκα ὁ ἔλεγχος ἔσεσθαι· πρὸς δὲ αὖ
τὰς τοῦ χειμῶνος καρτερήσεις (δεινοὶ γὰρ
αὐτόθι χειμῶνες) θαυμάσια ἠργάζετο τά τε
ἄλλα, | καί ποτε ὄντος πάγου οἵου δεινοτάτου, B
καὶ πάντων ἢ οὐκ ἐξιόντων ἔνδοθεν ἤ, εἴ τις
ἐξίοι, ἠμφιεσμένων τε θαυμαστὰ δὴ ὅσα καὶ
ὑποδεδεμένων καὶ ἐνειλιγμένων τοὺς πόδας εἰς
πίλους καὶ ἀρνακίδας, οὗτος δ' ἐν τούτοις ἐξῄει
ἔχων ἱμάτιον μὲν τοιοῦτον οἷόνπερ καὶ πρότερον
εἰώθει φορεῖν, ἀνυπόδητος δὲ διὰ τοῦ κρυστάλ-
λου ῥᾷον ἐπορεύετο ἢ οἱ ἄλλοι ὑποδεδεμένοι.
οἱ δὲ στρατιῶται ὑπέβλεπον αὐτὸν ὡς κατα-
φρονοῦντα σφῶν. Καὶ | ταῦτα μὲν δὴ ταῦτα· C

οἷον δ' αὖ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ

ἐκεῖ ποτε ἐπὶ στρατείας, ἄξιον ἀκοῦσαι. ξυν-
νοήσας γὰρ αὐτόθι ἕωθέν τι εἱστήκει σκοπῶν,
καὶ ἐπειδὴ οὐ προὐχώρει αὐτῷ, οὐκ
ἀνίει ἀλλὰ εἱστήκει ζητῶν. καὶ ἤδη
ἦν μεσημβρία, καὶ ἄνθρωποι ᾐσθάνοντο, καὶ
θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν ὅτι Σωκράτης
ἐξ ἑωθινοῦ φροντίζων τι ἕστηκε. τελευτῶντες δέ
τινες τῶν νέων, ἐπειδὴ ἑσπέρα ἦν, δειπνήσαντες

His abstraction.

220 (καὶ γὰρ θέρος τότε γε ἦν) χαμεύνια ἐξενεγκά-
D μενοι ἅμα μὲν ἐν τῷ ψύχει καθηῦδον, ἅμα δ'
ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα ἑστήξοι. ὁ
δὲ εἱστήκει μέχρι ἕως ἐγένετο καὶ ἥλιος
ἀνέσχεν· ἔπειτα ᾤχετ' ἀπιὼν προσευξάμενος
τῷ ἡλίῳ. εἰ δὲ βούλεσθε ἐν ταῖς μάχαις
(τοῦτο γὰρ δὴ δίκαιόν γε αὐτῷ ἀποδοῦναι)·
ὅτε γὰρ ἡ μάχη ἦν, ἐξ ἧς ἐμοὶ καὶ τἀριστεῖα
ἔδοσαν οἱ στρατηγοί, οὐδεὶς ἄλλος ἐμὲ ἔσωσεν
ἀνθρώπων ἢ οὗτος, τετρωμένον οὐκ ἐθέλων |
E ἀπολιπεῖν, ἀλλὰ συνδιέσωσε καὶ τὰ ὅπλα καὶ
αὐτὸν ἐμέ. καὶ ἐγὼ μέν, ὦ Σώκρατες, καὶ
τότε ἐκέλευον σοὶ διδόναι τἀριστεῖα τοὺς
στρατηγούς—καὶ τοῦτό γέ μοι οὔτε μέμψει
οὔτε ἐρεῖς ὅτι ψεύδομαι· ἀλλὰ γὰρ τῶν
στρατηγῶν πρὸς τὸ ἐμὸν ἀξίωμα ἀποβλεπόντων
καὶ βουλομένων ἐμοὶ διδόναι τἀριστεῖα, αὐτὸς
προθυμότερος ἐγένου τῶν στρατηγῶν ἐμὲ
λαβεῖν ἢ σαυτόν. ἔτι τοίνυν, ὦ ἄνδρες,
221 ἄξιον ἦν θεάσασθαι Σωκράτη, ὅτε ἀπὸ | Δηλίου

At Delium.

φυγῇ ἀνεχώρει τὸ στρατόπεδον·
ἔτυχον γὰρ παραγενόμενος ἵππον
ἔχων, οὗτος δὲ ὅπλα. ἀνεχώρει οὖν ἐσκεδα-
σμένων ἤδη τῶν ἀνθρώπων οὗτός τε ἅμα
καὶ Λάχης· καὶ ἐγὼ περιτυγχάνω, καὶ ἰδὼν
εὐθὺς παρακελεύομαί τε αὐτοῖν θαρρεῖν, καὶ
ἔλεγον ὅτι οὐκ ἀπολείψω αὐτώ. ἐνταῦθα δὴ
καὶ κάλλιον ἐθεασάμην Σωκράτη ἢ ἐν Ποτει-
δαίᾳ (αὐτὸς γὰρ ἧττον ἐν φόβῳ ἦ διὰ τὸ ἐφ'
ἵππου εἶναι) πρῶτον μὲν ὅσον περιῆν Λάχητος
B τῷ ἔμφρων | εἶναι· ἔπειτα ἔμοιγ' ἐδόκει, ὦ

Ἀριστόφανες, τὸ σὸν δὴ τοῦτο, καὶ ἐκεῖ 221
διαπορεύεσθαι ὥσπερ καὶ ἐνθάδε, βρενθυόμενος καὶ τὠφθαλμὼ παραβάλλων, ἠρέμα παρασκοπῶν καὶ τοὺς φιλίους καὶ τοὺς πολεμίους, δῆλος ὢν παντὶ καὶ πάνυ πόρρωθεν ὅτι, εἴ τις ἅψεται τούτου τοῦ ἀνδρός, μάλα ἐρρωμένως ἀμυνεῖται. διὸ καὶ ἀσφαλῶς ἀπῄει καὶ οὗτος καὶ ὁ ἕτερος· σχεδὸν γάρ τι τῶν οὕτω διακειμένων ἐν τῷ πολέμῳ οὐδὲ ἅπτονται,
ἀλλὰ τοὺς | προτροπάδην φεύγοντας διώκουσιν. C
πολλὰ μὲν οὖν ἄν τις καὶ ἄλλα ἔχοι Σωκράτη ἐπαινέσαι καὶ θαυμάσια· ἀλλὰ τῶν μὲν ἄλλων ἐπιτηδευμάτων τάχ' ἄν τις καὶ περὶ ἄλλου τοιαῦτα εἴποι, τὸ δὲ μηδενὶ ἀνθρώπων ὅμοιον εἶναι, μήτε τῶν παλαιῶν μήτε τῶν νῦν ὄντων, τοῦτο ἄξιον παντὸς θαύματος. οἷος γὰρ Ἀχιλλεὺς ἐγένετο, ἀπεικάσειεν ἄν τις καὶ Βρασίδαν καὶ ἄλλους, καὶ οἷος αὖ Περικλῆς, καὶ Νέστορα καὶ Ἀντήνορα,

Unlike all other men.

εἰσὶ δὲ | καὶ ἕτεροι· καὶ τοὺς ἄλλους κατὰ D
ταὔτ' ἄν τις ἀπεικάζοι· οἷος δὲ οὑτοσὶ γέγονεν τὴν ἀτοπίαν ἄνθρωπος, καὶ αὐτὸς καὶ οἱ λόγοι αὐτοῦ, οὐδ' ἐγγὺς ἂν εὕροι τις ζητῶν, οὔτε τῶν νῦν οὔτε τῶν παλαιῶν, εἰ μὴ ἄρα εἰ οἷς ἐγὼ λέγω ἀπεικάζοι τις αὐτόν, ἀνθρώπων μὲν μηδενί, τοῖς δὲ σιληνοῖς καὶ σατύροις, αὐτὸν καὶ τοὺς λόγους. Καὶ γὰρ οὖν καὶ τοῦτο ἐν τοῖς πρώτοις παρέλιπον, ὅτι καὶ οἱ λόγοι αὐτοῦ ὁμοιότατοί εἰσι τοῖς σιληνοῖς τοῖς
διοιγομένοις. εἰ | γὰρ ἐθέλοι τις τῶν Σωκρά- E
τους ἀκούειν λόγων, φανεῖεν ἂν γελοῖοι τὸ

221 πρῶτον· τοιαῦτα καὶ ὀνόματα καὶ ῥήματα ἔξωθεν περιαμπέχονται, σατύρου τινα ὑβριστοῦ δοράν. ὄνους γὰρ κανθηλίους λέγει καὶ χαλκέας τινὰς καὶ σκυτοτόμους καὶ βυρσοδέψας, καὶ ἀεὶ διὰ τῶν αὐτῶν τὰ αὐτὰ φαίνεται λέγειν, ὥστε ἄπειρος καὶ ἀνόητος ἄνθρωπος πᾶς ἂν
222 τῶν λόγων καταγελάσειεν. | διοιγομένους δὲ ἰδὼν δή τις καὶ ἐντὸς αὐτῶν γιγνόμενος πρῶτον μὲν νοῦν ἔχοντας ἔνδον μόνους εὑρήσει τῶν λόγων, ἔπειτα θειοτάτους καὶ πλεῖστα ἀγάλματ' ἀρετῆς ἐν αὑτοῖς ἔχοντας καὶ ἐπὶ πλεῖστον τείνοντας, μᾶλλον δὲ ἐπὶ πᾶν ὅσον προσήκει σκοπεῖν τῷ μέλλοντι καλῷ κἀγαθῷ ἔσεσθαι.

LACHES

Socrates' Ruling Passion—Cross-Examination of all those he meets.

187 E Οὔ μοι δοκεῖς εἰδέναι ὅτι, ὃς ἂν ἐγγύτατα Σωκράτους ᾖ λόγῳ, ὥσπερ γένει, καὶ πλησιάζῃ διαλεγόμενος, ἀνάγκη αὐτῷ, ἐὰν ἄρα καὶ περὶ ἄλλου του πρότερον ἄρξηται διαλέγεσθαι, μὴ παύεσθαι ὑπὸ τούτου περιαγόμενον τῷ λόγῳ, πρὶν ἐμπέσῃ εἰς τὸ διδόναι περὶ αὑτοῦ λόγον, ὅντινα τρόπον νῦν τε ζῇ
188 καὶ ὅντινα τὸν | παρεληλυθότα βίον βεβίωκεν· ἐπειδὰν δ' ἐμπέσῃ, ὅτι οὐ πρότερον αὐτὸν ἀφήσει Σωκράτης, πρὶν ἂν βασανίσῃ ταῦτα εὖ τε καὶ καλῶς ἅπαντα. ἐγὼ δὲ συνήθης τέ εἰμι τῷδε καὶ οἶδ' ὅτι ἀνάγκη ὑπὸ τούτου

Nicias speaks.

πάσχειν ταῦτα, καὶ ἔτι γε αὐτὸς ὅτι πείσομαι 188
ταῦτα εὖ οἶδα· χαίρω γάρ, ὦ Λυσίμαχε, τῷ
ἀνδρὶ πλησιάζων, καὶ οὐδὲν οἶμαι κακὸν εἶναι
τὸ ὑπομιμνήσκεσθαι ὅ τι μὴ καλῶς ἢ πεποιή-
καμεν | ἢ ποιοῦμεν, ἀλλ' εἰς τὸν ἔπειτα βίον B
προμηθέστερον ἀνάγκη εἶναι τὸν ταῦτα μὴ
φεύγοντα ἀλλ' ἐθέλοντα κατὰ τὸ τοῦ Σόλωνος
καὶ ἀξιοῦντα μανθάνειν ἕωσπερ ἂν ζῇ, καὶ μὴ
οἰόμενον αὐτὸ τὸ γῆρας νοῦν ἔχον προσιέναι.
ἐμοὶ μὲν οὖν οὐδὲν ἄηθες οὐδ' αὖ ἀηδὲς ὑπὸ
Σωκράτους βασανίζεσθαι, ἀλλὰ καὶ πάλαι
σχεδόν τι ἠπιστάμην ὅτι οὐ περὶ τῶν μειρα-
κίων ἡμῖν ὁ λόγος ἔσοιτο Σωκράτους παρόντος,
ἀλλὰ περὶ ἡμῶν αὐτῶν. ὅπερ οὖν λέγω, | τὸ C
μὲν ἐμὸν οὐδὲν κωλύει Σωκράτει συνδιατρίβειν
ὅπως οὗτος βούλεται· Λάχητα δὲ τόνδε ὅρα
ὅπως ἔχει περὶ τοῦ τοιούτου.

THEAETETUS

Socrates is an Antaeus in Dialogue.

THEODORUS. SOCRATES.

ΘΕΟ. Οὐ ῥᾴδιον, ὦ Σώκρατες, σοὶ παρα- 169 A
καθήμενον μὴ διδόναι λόγον, ἀλλ' ἐγὼ ἄρτι
παρελήρησα φάσκων σε ἐπιτρέψειν μοι μὴ
ἀποδύεσθαι, καὶ οὐχὶ ἀναγκάσειν καθάπερ
Λακεδαιμόνιοι· σὺ δέ μοι δοκεῖς πρὸς τὸν
Σκίρωνα μᾶλλον τείνειν. Λακεδαιμόνιοι μὲν |
γὰρ ἀπιέναι ἢ ἀποδύεσθαι κελεύουσι, σὺ δὲ B
κατ' Ἀνταῖόν τί μοι μᾶλλον δοκεῖς τὸ δρᾶμα

169 δρᾶν· τὸν γὰρ προσελθόντα οὐκ ἀνίῃς πρὶν ἀναγκάσῃς ἀποδύσας ἐν τοῖς λόγοις προσπαλαῖσαι.

ΣΩ. Ἄριστά γε, ὦ Θεόδωρε, τὴν νόσον μου ἀπῄκασας· ἰσχυρικώτερος μέντοι ἐγὼ ἐκείνων. μυρίοι γὰρ ἤδη μοι Ἡρακλέες τε καὶ Θησέες ἐντυγχάνοντες καρτεροὶ πρὸς τὸ λέγειν μάλ' εὖ συγκεκόφασιν, ἀλλ' ἐγὼ οὐδέν τι μᾶλλον ἀφίσταμαι· οὕτω τις ἔρως δεινὸς
C ἐνδέδυκε τῆς | περὶ ταῦτα γυμνασίας. μὴ οὖν μηδὲ σὺ φθονήσῃς προσανατριψάμενος σαυτόν τε ἅμα καὶ ἐμὲ ὀνῆσαι.

REPUBLIC VI

Socrates checkmates all Adversaries.

487 A Ἔστιν οὖν ὅπῃ μέμψει τοιοῦτον ἐπιτήδευμα ὃ μήποτ' ἄν τις οἷόστε γένοιτο ἱκανῶς ἐπιτηδεῦσαι, εἰ μὴ φύσει εἴη μνήμων, εὐμαθής, μεγαλοπρεπής, εὔχαρις, φίλος τε καὶ ξυγγενὴς ἀληθείας, δικαιοσύνης, ἀνδρείας, σωφροσύνης; Οὐδ' ἂν ὁ Μῶμος, ἔφη, τό γε τοιοῦτον μέμψαιτο. Ἀλλ', ἦν δ' ἐγώ, τελειωθεῖσι τοῖς τοιούτοις παιδείᾳ τε καὶ ἡλικίᾳ ἆρα οὐ μόνοις ἂν τὴν πόλιν ἐπιτρέποις;

He narrates his talk with Adeimantus.

Καὶ ὁ Ἀδείμαντος, Ὦ Σώκρατες, ἔφη,
B πρὸς | μὲν ταῦτά σοι οὐδεὶς ἂν οἷόστ' εἴη ἀντειπεῖν· ἀλλὰ γὰρ τοιόνδε τι πάσχουσιν οἱ ἀκούοντες ἑκάστοτε ἃ νῦν λέγεις· ἡγοῦνται δι' ἀπειρίαν τοῦ ἐρωτᾶν καὶ ἀποκρίνεσθαι ὑπὸ

τοῦ λόγου παρ' ἕκαστον τὸ ἐρώτημα σμικρὸν 487
παραγόμενοι, ἀθροισθέντων τῶν σμικρῶν ἐπὶ
τελευτῆς τῶν λόγων μέγα τὸ σφάλμα καὶ
ἐναντίον τοῖς πρώτοις ἀναφαίνεσθαι, καὶ ὥσπερ
ὑπὸ τῶν πεττεύειν δεινῶν οἱ μή, τελευτῶντες,
| ἀποκλείονται καὶ οὐκ ἔχουσιν ὅ τι φέρωσιν, C
οὕτω καὶ σφεῖς τελευτῶντες ἀποκλείεσθαι, καὶ
οὐκ ἔχειν ὅ τι λέγωσιν ὑπὸ πεττείας αὖ
ταύτης τινὸς ἑτέρας, οὐκ ἐν ψήφοις ἀλλ' ἐν
λόγοις· ἐπεὶ τό γε ἀληθὲς οὐδέν τι μᾶλλον
ταύτῃ ἔχειν. λέγω δ' εἰς τὸ παρὸν ἀποβλέψας.
νῦν γὰρ φαίη ἄν τίς σοι λόγῳ μὲν οὐκ ἔχειν
καθ' ἕκαστον τὸ ἐρωτώμενον ἐναντιοῦσθαι,
ἔργῳ δὲ ὁρᾶν, ὅσοι ἂν ἐπὶ φιλοσοφίαν ὁρμή-
σαντες μὴ τοῦ πεπαιδεῦσθαι | ἕνεκα ἁψάμενοι D
νέοι ὄντες ἀπαλλάττωνται, ἀλλὰ μακρότερον
ἐνδιατρίψωσι, τοὺς μὲν πλείστους καὶ πάνυ
ἀλλοκότους γιγνομένους (ἵνα μὴ παμπονήρους
εἴπωμεν), τοὺς δ' ἐπιεικεστάτους δοκοῦντας
ὅμως τοῦτό γε ὑπὸ τοῦ ἐπιτηδεύματος οὗ σὺ
ἐπαινεῖς πάσχοντας, ἀχρήστους ταῖς πόλεσι
γιγνομένους. καὶ ἐγὼ ἀκούσας, Οἴει οὖν, εἶπον,
τοὺς ταῦτα λέγοντας ψεύδεσθαι; Οὐκ οἶδα, ἦ
δ' ὅς· ἀλλὰ τὸ σοὶ δοκοῦν ἡδέως ἂν ἀκούοιμι. |
Ἀκούοις ἂν ὅτι ἔμοιγε φαίνονται τἀληθῆ λέγειν. E
Πῶς οὖν, ἔφη, εὖ ἔχει λέγειν ὅτι οὐ πρό-
τερον κακῶν παύσονται αἱ πόλεις, πρὶν ἂν ἐν
αὐταῖς οἱ φιλόσοφοι ἄρξωσιν, οὓς ἀχρήστους
ὁμολογοῦμεν αὐταῖς εἶναι; Ἐρωτᾷς, ἦν δ'
ἐγώ, ἐρώτημα δεόμενον ἀποκρίσεως δι' εἰκόνος
λεγομένης.

PROTAGORAS

The Huckster Sophists.

SOCRATES NARRATES.

Hippocrates' early visit to him; Protagoras has arrived,

310 A Τῆς παρελθούσης νυκτὸς ταυτησί, ἔτι βαθέος ὄρθρου, Ἱπποκράτης ὁ Ἀπολλοδώρου υἱός, Φάσωνος δὲ ἀδελφός, τὴν θύραν τῇ βακτηρίᾳ πάνυ |
B σφόδρα ἔκρουε, καὶ ἐπειδὴ αὐτῷ ἀνέῳξέ τις, εὐθὺς εἴσω ᾔει ἐπειγόμενος, καὶ τῇ φωνῇ μέγα λέγων, Ὦ Σώκρατες, ἔφη, ἐγρήγορας ἢ καθεύδεις; καὶ ἐγὼ τὴν φωνὴν γνοὺς αὐτοῦ, Ἱπποκράτης, ἔφην, οὗτος· μή τι νεώτερον ἀγγέλλεις; Οὐδέν γ', ἦ δ' ὅς, εἰ μὴ ἀγαθά γε. Εὖ ἂν λέγοις, ἦν δ' ἐγώ· ἔστι δὲ τί, καὶ τοῦ ἕνεκα τηνικάδε ἀφίκου; Πρωταγόρας, ἔφη, ἥκει, στὰς παρ' ἐμοί. Πρῴην, ἔφην ἐγώ· σὺ δὲ ἄρτι πέπυσαι; Νὴ τοὺς θεούς, ἔφη, ἑσπέρας
C γε. καὶ | ἅμα ἐπιψηλαφήσας τοῦ σκίμποδος ἐκαθέζετο παρὰ τοὺς πόδας μου, καὶ εἶπεν· Ἑσπέρας δῆτα, μάλα γε ὀψὲ ἀφικόμενος ἐξ Οἰνόης. ὁ γάρ τοι παῖς με ὁ Σάτυρος ἀπέδρα· καὶ δῆτα μέλλων σοι φράζειν ὅτι διωξοίμην αὐτόν, ὑπό τινος ἄλλου ἐπελαθόμην· ἐπειδὴ δὲ ἦλθον καὶ δεδειπνηκότες ἦμεν καὶ ἐμέλλομεν ἀναπαύεσθαι, τότε μοι ἀδελφὸς λέγει ὅτι ἥκει Πρωταγόρας. καὶ ἔτι μὲν ἐνεχείρησα εὐθὺς παρὰ σὲ ἰέναι, ἔπειτά μοι λίαν πόρρω ἔδοξε
D τῶν νυκτῶν | εἶναι· ἐπειδὴ δὲ τάχιστά με ἐκ τοῦ κόπου ὁ ὕπνος ἀνῆκεν, εὐθὺς ἀναστὰς

οὕτω δεῦρο ἐπορευόμην. καὶ ἐγὼ γιγνώσκων 310
αὐτοῦ τὴν ἀνδρείαν καὶ τὴν πτοίησιν, Τί οὖν
σοι, ἦν δ' ἐγώ, τοῦτο; μῶν τί σε ἀδικεῖ
Πρωταγόρας; καὶ ὃς γελάσας, Νὴ τοὺς θεούς,
ἔφη, ὦ Σώκρατες, ὅτι γε μόνος ἐστὶ σοφός,
ἐμὲ δὲ οὐ ποιεῖ. Ἀλλὰ ναὶ μὰ Δία, ἔφην
ἐγώ, ἂν αὐτῷ διδῷς ἀργύριον καὶ πείθῃς ἐκεῖνον,
ποιήσει καὶ σὲ σοφόν. Εἰ γάρ, ἦ δ' ὅς, ὦ
Ζεῦ καὶ θεοί, ἐν τούτῳ εἴη· ὡς | οὔτ' ἂν τῶν E
ἐμῶν ἐπιλίποιμι οὐδὲν οὔτε τῶν φίλων· ἀλλ'
αὐτὰ ταῦτα καὶ νῦν ἥκω παρὰ σέ, ἵνα ὑπὲρ
ἐμοῦ διαλεχθῇς αὐτῷ. ἐγὼ γὰρ ἅμα
μὲν καὶ νεώτερός εἰμι, ἅμα δὲ οὐδὲ
ἑώρακα Πρωταγόραν πώποτε οὐδ'
ἀκήκοα οὐδέν· ἔτι γὰρ παῖς ἦ, ὅτε τὸ πρότερον
ἐπεδήμησε. ἀλλὰ γάρ, ὦ Σώκρατες, πάντες
τὸν ἄνδρα ἐπαινοῦσιν καί φασιν σοφώτατον
εἶναι λέγειν· ἀλλὰ τί οὐ βαδίζομεν παρ' αὐτόν,
ἵνα ἔνδον καταλάβωμεν; | καταλύει δ', ὡς ἐγὼ 311
ἤκουσα, παρὰ Καλλίᾳ τῷ Ἱππονίκου· ἀλλ'
ἴωμεν. καὶ ἐγὼ εἶπον· Μήπω, ὠγαθέ, ἐκεῖσε
ἴωμεν· πρῲ γάρ ἐστιν· ἀλλὰ δεῦρο ἐξαναστῶμεν
εἰς τὴν αὐλήν, καὶ περιιόντες αὐτοῦ διατρίψωμεν,
ἕως ἂν φῶς γένηται· εἶτα ἴωμεν. καὶ
γὰρ τὰ πολλὰ Πρωταγόρας ἔνδον διατρίβει,
ὥστε, θάρρει, καταληψόμεθα αὐτόν, ὡς τὸ
εἰκός, ἔνδον.

and Hippocrates wishes to be taken to him as a pupil.

Μετὰ ταῦτα ἀναστάντες εἰς τὴν αὐλὴν
περιῇμεν. καὶ ἐγὼ ἀποπειρώμενος | τοῦ Ἱπ- B
ποκράτους τῆς ῥώμης διεσκόπουν αὐτὸν καὶ
ἠρώτων, Εἰπέ μοι, ἔφην ἐγώ, ὦ Ἱππόκρατες,

311 "To become what?" asks Socrates.

παρὰ Πρωταγόραν νῦν ἐπιχειρεῖς ἰέναι, ἀργύριον τελῶν ἐκείνῳ μισθὸν ὑπὲρ σεαυτοῦ, ὡς παρὰ τίνα ἀφιξόμενος καὶ τίς γενησόμενος; ὥσπερ ἂν εἰ ἐπενόεις παρὰ τὸν σαυτοῦ ὁμώνυμον ἐλθὼν Ἱπποκράτη τὸν Κῷον, τὸν τῶν Ἀσκληπιαδῶν, ἀργύριον τελεῖν ὑπὲρ σαυτοῦ μισθὸν ἐκείνῳ, εἴ τίς σε ἤρετο, Εἰπέ μοι, μέλλεις τελεῖν, ὦ
C Ἱππόκρατες, Ἱπποκράτει | μισθὸν ὡς τίνι ὄντι; τί ἂν ἀπεκρίνω; Εἶπον ἄν, ἔφη, ὅτι ὡς ἰατρῷ. Ὡς τίς γενησόμενος; Ὡς ἰατρός, ἔφη. Εἰ δὲ παρὰ Πολύκλειτον τὸν Ἀργεῖον ἢ Φειδίαν τὸν Ἀθηναῖον ἐπενόεις ἀφικόμενος μισθὸν ὑπὲρ σαυτοῦ τελεῖν ἐκείνοις, εἴ τίς σε ἤρετο, Τελεῖν τοῦτο τὸ ἀργύριον ὡς τίνι ὄντι ἐν νῷ ἔχεις Πολυκλείτῳ τε καὶ Φειδίᾳ; τί ἂν ἀπεκρίνω; Εἶπον ἂν ὡς ἀγαλματοποιοῖς. Ὡς τίς δὲ γενησόμενος αὐτός; Δῆλον ὅτι
D ἀγαλματοποιός. Εἶεν, ἦν δ' ἐγώ· παρὰ | δὲ δὴ Πρωταγόραν νῦν ἀφικόμενοι ἐγώ τε καὶ σὺ ἀργύριον ἐκείνῳ μισθὸν ἕτοιμοι ἐσόμεθα τελεῖν ὑπὲρ σοῦ, ἂν μὲν ἐξικνῆται τὰ ἡμέτερα χρήματα καὶ τούτοις πείθωμεν αὐτόν—· εἰ δὲ μή, καὶ τὰ τῶν φίλων προσαναλίσκοντες. εἰ οὖν τις ἡμᾶς περὶ ταῦτα οὕτω σφόδρα σπουδάζοντας ἔροιτο, Εἰπέ μοι, ὦ Σώκρατές τε καὶ Ἱππόκρατες, ὡς τίνι ὄντι τῷ Πρωταγόρᾳ ἐν νῷ ἔχετε χρήματα τελεῖν; τί ἂν αὐτῷ ἀποκριναίμεθα; τί ὄνομα ἄλλο γε λεγόμενον
E περὶ Πρωταγόρου ἀκούομεν, ὥσπερ περὶ Φειδίου ἀγαλματοποιὸν καὶ περὶ Ὁμήρου ποιητήν,

τί τοιοῦτον περὶ Πρωταγόρου ἀκούομεν; Σοφι- 311
στὴν δή τοι ὀνομάζουσί γε, ὦ Σώκρατες, τὸν ἄνδρα εἶναι, ἔφη. Ὡς σοφιστῇ ἄρα ἐρχόμεθα τελοῦντες τὰ χρήματα; Μάλιστα. Εἰ οὖν καὶ τοῦτό τίς σε προσέροιτο, Αὐτὸς δὲ δὴ ὡς τίς γενησόμενος ἔρχει παρὰ | τὸν 312
Πρωταγόραν; καὶ ὃς εἶπεν ἐρυθριάσας (ἤδη γὰρ ὑπέφαινέν τι ἡμέρας, ὥστε καταφανῆ αὐτὸν γενέσθαι) Εἰ μέν τι τοῖς ἔμπροσθεν ἔοικεν, δῆλον ὅτι σοφιστὴς γενησόμενος. Σὺ δέ, ἦν δ' ἐγώ, πρὸς θεῶν, οὐκ ἂν αἰσχύνοιο εἰς τοὺς Ἕλληνας σαυτὸν σοφιστὴν παρέχων; Νὴ τὸν Δία, ὦ Σώκρατες, εἴπερ γε ἃ διανοοῦμαι χρὴ λέγειν. Ἀλλ' ἄρα, ὦ Ἱππόκρατες, μὴ οὐ τοιαύτην ὑπολαμβάνεις σου τὴν παρὰ Πρωταγόρου μάθησιν ἔσεσθαι, ἀλλ' οἵαπερ |
ἡ παρὰ τοῦ γραμματιστοῦ ἐγένετο καὶ κιθα- B
ριστοῦ καὶ παιδοτρίβου; τούτων γὰρ σὺ ἑκάστην οὐκ ἐπὶ τέχνῃ ἔμαθες, ὡς δημιουργὸς ἐσόμενος, ἀλλ' ἐπὶ παιδείᾳ, ὡς τὸν ἰδιώτην καὶ τὸν ἐλεύθερον πρέπει. Πάνυ μὲν οὖν μοι δοκεῖ, ἔφη, τοιαύτη μᾶλλον εἶναι ἡ παρὰ Πρωταγόρου μάθησις.

"Not to become a sophist, but for general culture," thinks Hippocrates.

Οἶσθα οὖν ὃ μέλλεις νῦν πράττειν, ἤ σε λανθάνει; ἦν δ' ἐγώ. Τοῦ πέρι; Ὅτι μέλλεις τὴν ψυχὴν τὴν σαυτοῦ | παρασχεῖν θεραπεῦ- C
σαι ἀνδρί, ὡς φῄς, σοφιστῇ· ὅ τι δέ ποτε ὁ σοφιστής ἐστιν, θαυμάζοιμ' ἂν εἰ οἶσθα. καίτοι εἰ τοῦτ' ἀγνοεῖς, οὐδὲ ὅτῳ παραδίδως τὴν ψυχὴν οἶσθα,

But what a sophist is he cannot tell.

312 οὔτ' εἰ ἀγαθῷ οὔτ' εἰ κακῷ πράγματι. Οἶμαι
γ', ἔφη, εἰδέναι. Λέγε δή, τί ἡγεῖ εἶναι τὸν
σοφιστήν; Ἐγὼ μέν, ἦ δ' ὅς, ὥσπερ τοὔνομα
λέγει, τοῦτον εἶναι τὸν τῶν σοφῶν ἐπιστήμονα.
Οὐκοῦν, ἦν δ' ἐγώ, τοῦτο μὲν ἔξεστι λέγειν
καὶ περὶ ζωγράφων καὶ περὶ τεκτόνων, ὅτι
D οὗτοί εἰσιν οἱ τῶν σοφῶν ἐπιστήμονες· | ἀλλ'
εἴ τις ἔροιτο ἡμᾶς, Τῶν τί σοφῶν εἰσιν οἱ
ζωγράφοι ἐπιστήμονες, εἴποιμεν ἄν που αὐτῷ
ὅτι τῶν πρὸς τὴν ἀπεργασίαν τὴν τῶν εἰκόνων,
καὶ τἆλλα οὕτως. εἰ δέ τις ἐκεῖνο ἔροιτο, Ὁ
δὲ σοφιστὴς τῶν τί σοφῶν ἐστιν; τί ἂν
ἀποκρινοίμεθα αὐτῷ; ποίας ἐργασίας ἐπι-
στάτης; Τί ἄν, <εἰ> εἴποιμεν αὐτὸν εἶναι,
ὦ Σώκρατες, ἐπιστάτην τοῦ ποιῆσαι δεινὸν
λέγειν; Ἴσως ἄν, ἦν δ' ἐγώ, ἀληθῆ λέγοιμεν·
οὐ μέντοι ἱκανῶς γε· ἐρωτήσεως γὰρ ἔτι ἡ
ἀπόκρισις ἡμῖν δεῖται, περὶ ὅτου ὁ σοφιστὴς
δεινὸν ποιεῖ λέγειν· ὥσπερ ὁ κιθαριστὴς
E δεινὸν δήπου | ποιεῖ λέγειν περὶ οὗπερ καὶ
ἐπιστήμονα, περὶ κιθαρίσεως· ἦ γάρ; Ναί.
Εἶεν· ὁ δὲ δὴ σοφιστὴς περὶ τίνος δεινὸν
ποιεῖ λέγειν; Δῆλον ὅτι περὶ οὗπερ καὶ
ἐπίσταται; Εἰκός γε· τί δή ἐστιν τοῦτο, περὶ
οὗ αὐτός τε ἐπιστήμων ἐστὶν ὁ σοφιστὴς καὶ
τὸν μαθητὴν ποιεῖ; Μὰ Δί', ἔφη, οὐκέτι ἔχω
σοι λέγειν.

313 Καὶ ἐγὼ εἶπον | μετὰ τοῦτο· Τί οὖν;
οἶσθα εἰς οἷόν τινα κίνδυνον ἔρχει
ὑποθήσων τὴν ψυχήν; ἢ εἰ μὲν
τὸ σῶμα ἐπιτρέπειν σε ἔδει τῷ

The danger of entrusting one's soul to a stranger,

διακινδυνεύοντα ἢ χρηστὸν αὐτὸ γενέσθαι ἢ 313
πονηρόν, πολλὰ ἂν περιεσκέψω, εἴτ᾽ ἐπιτρε-
πτέον εἴτε οὔ, καὶ εἰς συμβουλὴν τούς τε
φίλους ἂν παρεκάλεις καὶ τοὺς οἰκείους, σκο-
πούμενος ἡμέρας συχνάς· ὃ δὲ περὶ πλείονος
τοῦ σώματος ἡγεῖ, τὴν ψυχήν, καὶ ἐν ᾧ
πάντ᾽ ἐστὶν τὰ σὰ ἢ εὖ ἢ κακῶς πράττειν,
χρηστοῦ ἢ πονηροῦ αὐτοῦ γενομένου, περὶ δὲ
τούτου οὔτε τῷ πατρὶ οὔτε | τῷ ἀδελφῷ B
ἐπεκοινώσω οὔτε ἡμῶν τῶν ἑταίρων οὐδενί,
εἴτ᾽ ἐπιτρεπτέον εἴτε καὶ οὒ τῷ ἀφικομένῳ
τούτῳ ξένῳ τὴν σὴν ψυχήν, ἀλλ᾽ ἑσπέρας
ἀκούσας, ὡς φῄς, ὄρθριος ἥκων περὶ μὲν
τούτου οὐδένα λόγον οὐδὲ συμβουλὴν ποιεῖ,
εἴτε χρὴ ἐπιτρέπειν σαυτὸν αὐτῷ εἴτε μή,
ἕτοιμος δ᾽ εἶ ἀναλίσκειν τά τε σαυτοῦ καὶ τὰ
τῶν φίλων χρήματα, ὡς ἤδη διεγνωκὼς ὅτι
πάντως συνεστέον Πρωταγόρᾳ, ὃν οὔτε γιγνώ-
σκεις, ὡς φῄς, οὔτε διείλεξαι οὐδεπώποτε,
σοφιστὴν δ᾽ ὀνομάζεις, | τὸν δὲ σοφιστήν, ὅ τι C
ποτ᾽ ἐστίν, φαίνει ἀγνοῶν, ᾧ μέλλεις σαυτὸν
ἐπιτρέπειν; καὶ ὃς ἀκούσας, Ἔοικεν, ἔφη,
ὦ Σώκρατες, ἐξ ὧν σὺ λέγεις. Ἆρ᾽ οὖν, ὦ
Ἱππόκρατες, ὁ σοφιστὴς τυγχάνει ὢν ἔμπορός
τις ἢ κάπηλος τῶν ἀγωγίμων, ἀφ᾽
ὧν ψυχὴ τρέφεται; Φαίνεται γὰρ
ἔμοιγε τοιοῦτός τις· τρέφεται δέ, ὦ
Σώκρατες, ψυχὴ τίνι; Μαθήμασιν δήπου, ἦν
δ᾽ ἐγώ. καὶ ὅπως γε μή, ὦ ἑταῖρε, ὁ
σοφιστὴς ἐπαινῶν ἃ πωλεῖ ἐξαπατήσῃ ἡμᾶς,
ὥσπερ οἱ περὶ τὴν τοῦ σώματος τροφήν, ὁ

a huckster of knowledge of dubious value.

313 ἔμπορός | τε καὶ κάπηλος. καὶ γὰρ οὗτοί που
D ὧν ἄγουσιν ἀγωγίμων οὔτε αὐτοὶ ἴσασιν ὅ τι
χρηστὸν ἢ πονηρὸν περὶ τὸ σῶμα, ἐπαινοῦσιν
δὲ πάντα πωλοῦντες, οὔτε οἱ ὠνούμενοι παρ'
αὐτῶν, ἐὰν μή τις τύχῃ γυμναστικὸς ἢ ἰατρὸς
ὤν. οὕτω δὲ καὶ οἱ τὰ μαθήματα περιάγοντες
κατὰ τὰς πόλεις καὶ πωλοῦντες καὶ καπη-
λεύοντες τῷ ἀεὶ ἐπιθυμοῦντι ἐπαινοῦσιν μὲν
πάντα ἃ πωλοῦσιν, τάχα δ' ἄν τινες, ὦ
ἄριστε, καὶ τούτων ἀγνοοῖεν ὧν πωλοῦσι ὅ τι
χρηστὸν ἢ πονηρὸν πρὸς τὴν ψυχήν· ὡς δ'
E αὕτως καὶ οἱ ὠνούμενοι παρ' αὐτῶν, ἐὰν μή
τις τύχῃ περὶ τὴν ψυχὴν αὖ ἰατρικὸς ὤν.
εἰ μὲν οὖν σὺ τυγχάνεις ἐπιστήμων τούτων τί
χρηστὸν καὶ πονηρόν, ἀσφαλές σοι ὠνεῖσθαι
μαθήματα καὶ παρὰ Πρωταγόρου καὶ παρ'
ἄλλου ὁτουοῦν· εἰ δὲ μή, ὅρα, ὦ μακάριε,
314 μὴ περὶ τοῖς φιλτάτοις | κυβεύῃς τε καὶ
κινδυνεύῃς. καὶ γὰρ δὴ καὶ πολὺ μείζων
κίνδυνος ἐν τῇ τῶν μαθημάτων ὠνῇ ἢ ἐν τῇ
τῶν σιτίων. σιτία μὲν γὰρ καὶ ποτὰ πριά-
μενον παρὰ τοῦ καπήλου καὶ ἐμπόρου ἔξεστιν
ἐν ἄλλοις ἀγγείοις ἀποφέρειν, καὶ πρὶν δέ-
ξασθαι αὐτὰ εἰς τὸ σῶμα πιόντα ἢ φαγόντα,
καταθέμενον οἴκαδε ἔξεστιν συμβουλεύσασθαι,
παρακαλέσαντα τὸν ἐπαΐοντα, ὅ τι τε ἐδεστέον
ἢ ποτέον καὶ ὅ τι μή, καὶ ὁπόσον καὶ ὁπότε·
ὥστε ἐν τῇ ὠνῇ οὐ μέγας ὁ κίνδυνος. μαθή-
B ματα δὲ οὐκ | ἔστιν ἐν ἄλλῳ ἀγγείῳ ἀπενεγκεῖν,
ἀλλ' ἀνάγκη, καταθέντα τὴν τιμὴν τὸ μάθημα
ἐν αὐτῇ τῇ ψυχῇ λαβόντα καὶ μαθόντα ἀπιέναι

ἢ βεβλαμμένον ἢ ὠφελημένον. ταῦτα οὖν σκο- 314
πώμεθα καὶ μετὰ τῶν πρεσβυτέρων ἡμῶν· ἡμεῖς
γὰρ ἔτι νέοι ὥστε τοσοῦτο πρᾶγμα διελέσθαι.
νῦν μέντοι, ὥσπερ ὡρμήσαμεν, ἴωμεν καὶ ἀκού-
σωμεν τοῦ ἀνδρός, ἔπειτα ἀκούσαντες
καὶ ἄλλοις ἀνακοινωσώμεθα· καὶ γὰρ
οὐ μόνος Πρωταγόρας αὐτόθι ἐστίν,
ἀλλὰ καὶ Ἱππίας ὁ Ἠλεῖος· οἶμαι | δὲ καὶ C
Πρόδικον τὸν Κεῖον· καὶ ἄλλοι πολλοὶ καὶ σοφοί.

But let us go and hear the man.

Δόξαν ἡμῖν ταῦτα ἐπορευόμεθα· ἐπειδὴ δὲ
ἐν τῷ προθύρῳ ἐγενόμεθα, ἐπιστάντες περί
τινος λόγου διελεγόμεθα, ὃς ἡμῖν κατὰ τὴν
ὁδὸν ἐνέπεσεν· ἵν᾽ οὖν μὴ ἀτελὴς γένοιτο,
ἀλλὰ διαπερανάμενοι οὕτως ἐσίοιμεν, στάντες
ἐν τῷ προθύρῳ διελεγόμεθα, ἕως συνωμολογή-
σαμεν ἀλλήλοις. δοκεῖ οὖν μοι, ὁ θυρωρός,
εὐνοῦχός τις, κατήκουεν ἡμῶν, κινδυνεύει δὲ
διὰ | τὸ πλῆθος τῶν σοφιστῶν ἄχθεσθαι τοῖς D
φοιτῶσιν εἰς τὴν οἰκίαν· ἐπειδὴ γοῦν
ἐκρούσαμεν τὴν θύραν, ἀνοίξας καὶ
ἰδὼν ἡμᾶς, Ἔα, ἔφη, σοφισταί τινες·
οὐ σχολὴ αὐτῷ. καὶ ἅμα ἀμφοῖν τοῖν χεροῖν
τὴν θύραν πάνυ προθύμως ὡς οἷόστ᾽ ἦν
ἐπήραξεν. καὶ ἡμεῖς πάλιν ἐκρούομεν, καὶ ὃς
ἐγκεκλῃμένης τῆς θύρας ἀποκρινόμενος εἶπεν, Ὦ
ἄνθρωποι, ἔφη, οὐκ ἀκηκόατε ὅτι οὐ σχολὴ αὐτῷ;
Ἀλλ᾽ ὠγαθέ, ἔφην ἐγώ, οὔτε παρὰ Καλλίαν ἥκο-
μεν οὔτε σοφισταί ἐσμεν· ἀλλὰ θάρρει· | Πρω- E
ταγόραν γάρ τοι δεόμενοι ἰδεῖν ἤλθομεν· εἰσάγ-
γειλον οὖν. μόγις οὖν ποτε ἡμῖν ἄνθρωπος
ἀνέῳξεν τὴν θύραν.

A difficult access at Callias' house.

The sophists there gathered.

314 Ἐπειδὴ δὲ εἰσήλθομεν, κατελάβομεν Πρωταγόραν ἐν τῷ προστῴῳ περιπατοῦντα, ἑξῆς δ' αὐτῷ συμπεριεπάτουν ἐκ μὲν τοῦ ἐπὶ θάτερα Καλλίας ὁ Ἱππονίκου καὶ ὁ
315 ἀδελφὸς αὐτοῦ ὁ ὁμομήτριος, Πάραλος | ὁ Περικλέους, καὶ Χαρμίδης ὁ Γλαύκωνος, ἐκ δὲ τοῦ ἐπὶ θάτερα ὁ ἕτερος τῶν Περικλέους Ξάνθιππος καὶ Φιλιππίδης ὁ Φιλομήλου καὶ Ἀντίμοιρος ὁ Μενδαῖος, ὅσπερ εὐδοκιμεῖ μάλιστα τῶν Πρωταγόρου μαθητῶν καὶ ἐπὶ τέχνῃ μανθάνει, ὡς σοφιστὴς ἐσόμενος. τούτων δὲ οἳ ὄπισθεν ἠκολούθουν ἐπακούοντες τῶν λεγομένων, τὸ μὲν πολὺ ξένοι ἐφαίνοντο, οὓς ἄγει ἐξ ἑκάστων τῶν πόλεων ὁ Πρωταγόρας, δι' ὧν διεξέρχεται, κηλῶν τῇ φωνῇ ὥσπερ Ὀρφεύς,
B οἱ δὲ κατὰ τὴν φωνὴν | ἕπονται κεκηλημένοι· ἦσαν δέ τινες καὶ τῶν ἐπιχωρίων ἐν τῷ χορῷ. τοῦτον τὸν χορὸν μάλιστα ἔγωγε ἰδὼν ἥσθην, ὡς καλῶς ηὐλαβοῦντο μηδέποτε ἐμποδὼν ἐν τῷ πρόσθεν εἶναι Πρωταγόρου, ἀλλ' ἐπειδὴ αὐτὸς ἀναστρέφοι καὶ οἱ μετ' ἐκείνου, εὖ πως καὶ ἐν κόσμῳ περιεσχίζοντο οὗτοι οἱ ἐπήκοοι ἔνθεν καὶ ἔνθεν, καὶ ἐν κύκλῳ περιιόντες ἀεὶ εἰς τὸ ὄπισθεν καθίσταντο κάλλιστα.

Τὸν δὲ μετ' εἰσενόησα, ἔφη Ὅμηρος,
C Ἱππίαν τὸν Ἠλεῖον, | καθήμενον ἐν τῷ κατ' ἀντικρὺ προστῴῳ ἐν θρόνῳ· περὶ αὐτὸν δ' ἐκάθηντο ἐπὶ βάθρων Ἐρυξίμαχός τε ὁ Ἀκουμενοῦ καὶ Φαῖδρος ὁ Μυρρινούσιος καὶ Ἄνδρων ὁ Ἀνδροτίωνος καὶ τῶν ξένων πολῖταί τε αὐτοῦ καὶ ἄλλοι τινές. ἐφαίνοντο δὲ περὶ φύσεώς τε

καὶ τῶν μετεώρων ἀστρονομικὰ ἄττα διερωτᾶν 315 τὸν Ἱππίαν, ὁ δ᾽ ἐν θρόνῳ καθήμενος ἑκάστοις αὐτῶν διέκρινεν καὶ διεξῄει τὰ ἐρωτώμενα.

Καὶ μὲν δὴ καὶ Τάνταλόν γε εἰσεῖδον. ἐπεδήμει γὰρ ἄρα καὶ Πρόδικος ὁ | Κεῖος, ἦν δὲ D ἔν οἰκήματί τινι, ᾧ πρὸ τοῦ μὲν ὡς ταμιείῳ ἐχρῆτο Ἱππόνικος, νῦν δὲ ὑπὸ τοῦ πλήθους τῶν καταλυόντων ὁ Καλλίας καὶ τοῦτο ἐκκενώσας ξένοις κατάλυσιν πεποίηκεν. ὁ μὲν οὖν Πρόδικος ἔτι κατέκειτο, ἐγκεκαλυμμένος ἐν κῳδίοις τισὶν καὶ στρώμασιν καὶ μάλα πολλοῖς, ὡς ἐφαίνετο· παρεκάθηντο δὲ αὐτῷ ἐπὶ ταῖς πλησίον κλίναις Παυσανίας τε ὁ ἐκ Κεραμέων καὶ μετὰ Παυσανίου νέον τι ἔτι μειράκιον, ὡς μὲν ἐγᾦμαι, καλόν τε κἀγαθὸν τὴν φύσιν, | τὴν δ᾽ οὖν ἰδέαν πάνυ καλός. E ἔδοξα ἀκοῦσαι ὄνομα αὐτῷ εἶναι Ἀγάθωνα, καὶ οὐκ ἂν θαυμάζοιμι, εἰ παιδικὰ Παυσανίου τυγχάνει ὤν. τοῦτ᾽ ἦν τὸ μειράκιον, καὶ τὼ Ἀδειμάντω ἀμφοτέρω, ὅ τε Κήπιδος καὶ ὁ Λευκολοφίδου, καὶ ἄλλοι τινὲς ἐφαίνοντο· περὶ δὲ ὧν διελέγοντο οὐκ ἐδυνάμην ἔγωγε μαθεῖν ἔξωθεν, καίπερ λιπαρῶς ἔχων ἀκούειν τοῦ Προδίκου (πάσσοφος γάρ μοι δοκεῖ ἀνὴρ εἶναι καὶ θεῖος), | ἀλλὰ διὰ τὴν βαρύτητα τῆς φωνῆς 316 βόμβος τις ἐν τῷ οἰκήματι γιγνόμενος ἀσαφῆ ἐποίει τὰ λεγόμενα.

GORGIAS

It is better to suffer Wrong than do Wrong.

SOCRATES. POLUS. CALLICLES.

469 B ΠΩΛ. Σὺ ἄρα βούλοιο ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν;

Socrates' choice;

C ΣΩ. Βουλοίμην | μὲν ἂν ἔγωγε οὐδέτερα· εἰ δ' ἀναγκαῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν. * * *

470 E ΣΩ. Τὸν μὲν γὰρ καλὸν κἀγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονα εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον. * * *

the reason.

471 E ΣΩ. Ὦ μακάριε, ῥητορικῶς γάρ με ἐπιχειρεῖς ἐλέγχειν, ὥσπερ οἱ ἐν τοῖς δικαστηρίοις ἡγούμενοι ἐλέγχειν. καὶ γὰρ ἐκεῖ οἱ ἕτεροι τοὺς ἑτέρους δοκοῦσιν ἐλέγχειν, ἐπειδὰν τῶν λόγων ὧν ἂν λέγωσι μάρτυρας πολλοὺς παρέχωνται καὶ εὐδοκίμους, ὁ δὲ τἀναντία λέγων ἕνα τινὰ παρέχηται ἢ μηδένα. οὗτος δὲ ὁ ἔλεγχος
472 οὐδενὸς ἄξιός ἐστιν πρὸς τὴν | ἀλήθειαν· ἐνίοτε γὰρ ἂν καὶ καταψευδομαρτυρηθείη τις ὑπὸ πολλῶν καὶ δοκούντων εἶναί τι. καὶ νῦν περὶ ὧν σὺ λέγεις ὀλίγου σοι πάντες συμφήσουσιν ταῦτα Ἀθηναῖοι καὶ οἱ ξένοι, ἐὰν βούλῃ κατ' ἐμοῦ μάρτυρας παρασχέσθαι, ὡς οὐκ ἀληθῆ λέγω· μαρτυρήσουσί σοι, ἐὰν μὲν βούλῃ, Νικίας ὁ Νικηράτου καὶ οἱ ἀδελφοὶ μετ' αὐτοῦ, ὧν οἱ τρίποδες οἱ ἐφεξῆς ἑστῶτές εἰσιν ἐν τῷ Διονυ-

Lawyers confute by the testimony of many witnesses;

σίῳ, ἐὰν δὲ βούλῃ, Ἀριστοκράτης ὁ Σκελλίου, 472
οὗ αὖ ἐστιν ἐν Πυθοῖ τοῦτο τὸ καλὸν | ἀνάθημα, B
ἐὰν δὲ βούλῃ, ἡ Περικλέους ὅλη οἰκία ἢ ἄλλη
συγγένεια, ἥντινα ἂν βούλῃ τῶν ἐνθάδε ἐκλέξα-
σθαι. ἀλλ' ἐγώ σοι εἷς ὢν οὐχ ὁμολογῶ· οὐ
γάρ με σὺ ἀναγκάζεις, ἀλλὰ ψευδομάρτυρας
πολλοὺς κατ' ἐμοῦ παρασχόμενος ἐπιχειρεῖς
ἐκβάλλειν με ἐκ τῆς οὐσίας καὶ τοῦ ἀληθοῦς.
ἐγὼ δέ, ἂν μὴ σὲ αὐτὸν ἕνα ὄντα
μάρτυρα παράσχωμαι ὁμολογοῦντα
περὶ ὧν λέγω, οὐδὲν οἶμαι ἄξιον λόγου
μοι πεπεράνθαι περὶ | ὧν ἂν ἡμῖν C
ὁ λόγος ᾖ· οἶμαι δὲ οὐδὲ σοί, ἐὰν μὴ ἐγώ σοι
μαρτυρῶ εἷς ὢν μόνος, τοὺς δ' ἄλλους πάντας
τούτους χαίρειν ἐᾷς. ἔστιν μὲν οὖν οὗτός τις
τρόπος ἐλέγχου, ὡς σύ τε οἴει καὶ ἄλλοι
πολλοί· ἔστιν δὲ καὶ ἄλλος, ὃν ἐγὼ αὖ οἶμαι.
παραβαλόντες οὖν παρ' ἀλλήλους σκεψώμεθα,
εἴ τι διοίσουσιν ἀλλήλων. καὶ γὰρ τυγχάνει
περὶ ὧν ἀμφισβητοῦμεν οὐ πάνυ σμικρὰ ὄντα,
ἀλλὰ σχεδόν τι ταῦτα, περὶ ὧν εἰδέναι τε
κάλλιστον μὴ εἰδέναι τε αἴσχιστον· τὸ γὰρ
κεφάλαιον αὐτῶν ἐστιν ἢ γιγνώσκειν ἢ
ἀγνοεῖν, ὅστις τε εὐδαίμων ἐστὶν καὶ ὅστις
| μή. αὐτίκα πρῶτον, περὶ οὗ νῦν ὁ λόγος D
ἐστίν, σὺ ἡγεῖ οἷόν τε εἶναι μακάριον ἄνδρα
ἀδικοῦντά τε καὶ ἄδικον ὄντα, εἴπερ Ἀρχέλαον
ἄδικον μὲν ἡγεῖ εἶναι, εὐδαίμονα δέ· ἄλλο τι
ὡς οὕτω σου νομίζοντος διανοώμεθα;

but Socrates, by the admissions of the defendant himself.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἐγὼ δέ φημι ἀδύνατον. ἓν μὲν τουτὶ

472 ἀμφισβητοῦμεν. εἶεν· ἀδικῶν δὲ δὴ εὐδαίμων ἔσται ἆρ', ἂν τυγχάνῃ δίκης τε καὶ τιμωρίας;

ΠΩΛ. Ἥκιστά γε, ἐπεὶ οὕτω γ' ἂν ἀθλιώτατος εἴη.

E ΣΩ. Ἀλλ' ἐὰν ἄρα μὴ τυγχάνῃ | δίκης ὁ ἀδικῶν, κατὰ τὸν σὸν λόγον εὐδαίμων ἔσται;

ΠΩΛ. Φημί.

Socrates' Paradox: The wrong-doer is less wretched if punished.

ΣΩ. Κατὰ δέ γε τὴν ἐμὴν δόξαν, ὦ Πῶλε, ὁ ἀδικῶν τε καὶ ὁ ἄδικος πάντως μὲν ἄθλιος, ἀθλιώτερος μέντοι, ἐὰν μὴ διδῷ δίκην μηδὲ τυγχάνῃ τιμωρίας ἀδικῶν, ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην καὶ τυγχάνῃ δίκης ὑπὸ θεῶν τε καὶ ἀνθρώπων.

473 ΠΩΛ. | Ἄτοπά γε, ὦ Σώκρατες, ἐπιχειρεῖς λέγειν.

ΣΩ. Πειράσομαι δέ γε καὶ σὲ ποιῆσαι, ὦ ἑταῖρε, ταὐτὰ ἐμοὶ λέγειν· φίλον γάρ σε ἡγοῦμαι. νῦν μὲν οὖν ἃ διαφερόμεθα ταῦτ' ἐστί· σκόπει δὲ καὶ σύ· εἶπον ἐγώ που ἐν τοῖς ἔμπροσθεν τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον εἶναι.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Σὺ δὲ τὸ ἀδικεῖσθαι.

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ τοὺς ἀδικοῦντας ἀθλίους ἔφην εἶναι ἐγώ, καὶ ἐξηλέγχθην ὑπὸ σοῦ—

ΠΩΛ. Ναὶ μὰ Δία.

B ΣΩ. Ὡς | σὺ οἴει, ὦ Πῶλε.

ΠΩΛ. Ἀληθῆ γε οἰόμενος ἴσως.

ΣΩ. Σὺ δέ γε εὐδαίμονας αὖ τοὺς ἀδικοῦντας, ἐὰν μὴ διδῶσι δίκην.

ΠΩΛ. Πάνυ μὲν οὖν. 473

ΣΩ. Ἐγὼ δὲ αὐτοὺς ἀθλιωτάτους φημί, τοὺς δὲ διδόντας δίκην ἧττον. βούλει καὶ τοῦτο ἐλέγχειν;

ΠΩΛ. Ἀλλ' ἔτι τοῦτ' ἐκείνου χαλεπώτερόν ἐστιν, ὦ Σώκρατες, ἐξελέγξαι.

ΣΩ. Οὐ δῆτα, ὦ Πῶλε, ἀλλ' ἀδύνατον· τὸ γὰρ ἀληθὲς οὐδέποτε ἐλέγχεται.

Polus would refute by a rhetorical question,

ΠΩΛ. Πῶς λέγεις; ἐὰν ἀδικῶν ἄνθρωπος ληφθῇ τυραννίδι | ἐπιβουλεύων, καὶ C ληφθεὶς στρεβλῶται καὶ ἐκτέμνηται καὶ τοὺς ὀφθαλμοὺς ἐκκάηται, καὶ ἄλλας πολλὰς καὶ μεγάλας καὶ παντοδαπὰς λώβας αὐτός τε λωβηθεὶς καὶ τοὺς αὑτοῦ ἐπιδὼν παῖδάς τε καὶ γυναῖκα τὸ ἔσχατον ἀνασταυρωθῇ ἢ καταπιττωθῇ, οὗτος εὐδαιμονέστερος ἔσται ἢ ἐὰν διαφυγὼν τύραννος καταστῇ καὶ ἄρχων ἐν τῇ πόλει διαβιῷ ποιῶν ὅ τι ἂν βούληται, ζηλωτὸς ὢν καὶ εὐδαιμονιζόμενος ὑπὸ τῶν πολιτῶν καὶ τῶν | ἄλλων ξένων; ταῦτα D λέγεις ἀδύνατον εἶναι ἐξελέγχειν;

ΣΩ. Μορμολύττει αὖ, ὦ γενναῖε Πῶλε, καὶ οὐκ ἐλέγχεις· ἄρτι δὲ ἐμαρτύρου. ὅμως δὲ ὑπόμνησόν με σμικρόν· ἐὰν ἀδίκως ἐπιβουλεύων τυραννίδι, εἶπες;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Εὐδαιμονέστερος μὲν τοίνυν οὐδέποτε ἔσται οὐδέτερος αὐτῶν, οὔτε ὁ κατειργασμένος τὴν τυραννίδα ἀδίκως οὔτε ὁ δίκην διδούς· δυοῖν γὰρ ἀθλίοιν εὐδαιμονέστερος μὲν οὐκ ἂν εἴη· ἀθλιώτερος μέντοι ὁ διαφεύγων | καὶ τυραν- E νεύσας.—τί τοῦτο, ὦ Πῶλε; γελᾷς; ἄλλο αὖ

473 τοῦτο εἶδος ἐλέγχου ἐστίν, ἐπειδάν τίς τι εἴπῃ, καταγελᾶν, ἐλέγχειν δὲ μή;

ΠΩΛ. Οὐκ οἴει ἐξεληλέγχθαι, ὦ Σώκρατες, ὅταν τοιαῦτα λέγῃς, ἃ οὐδεὶς ἂν φήσειεν ἀνθρώπων; ἐπεὶ ἐροῦ τινα τουτωνί.

by appeal to the general judgment.

ΣΩ. Ὦ Πῶλε, οὐκ εἰμὶ τῶν πολιτικῶν· καὶ πέρυσι βουλεύειν λαχών, ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε καὶ ἔδει με ἐπιψηφίζειν, γέλωτα
474 παρεῖχον | καὶ οὐκ ἠπιστάμην ἐπιψηφίζειν. μὴ οὖν μηδὲ νῦν με κέλευε ἐπιψηφίζειν τοὺς παρόντας, ἀλλ' εἰ μὴ ἔχεις τούτων βελτίω ἔλεγχον, ὅπερ νῦν δὴ ἐγὼ ἔλεγον, ἐμοὶ ἐν τῷ μέρει παράδος, καὶ πείρασαι τοῦ ἐλέγχου, οἷον ἐγὼ οἶμαι δεῖν εἶναι. ἐγὼ γὰρ ὧν ἂν λέγω ἕνα μὲν παρασχέσθαι μάρτυρα ἐπίσταμαι, αὐτὸν πρὸς ὃν ἄν μοι ὁ λόγος ᾖ, τοὺς δὲ πολλοὺς ἐῶ χαίρειν, καὶ ἕνα ἐπιψηφίζειν ἐπίσταμαι, τοῖς δὲ πολλοῖς οὐδὲ διαλέγομαι.
B ὅρα οὖν, εἰ ἐθελήσεις | ἐν τῷ μέρει διδόναι ἔλεγχον ἀποκρινόμενος τὰ ἐρωτώμενα. ἐγὼ γὰρ δὴ οἶμαι καὶ ἐμὲ καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώπους τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι καὶ τὸ μὴ διδόναι δίκην τοῦ διδόναι.

But Socrates proves, first, that to do wrong is worse than to suffer wrong;

ΠΩΛ. Ἐγὼ δέ γε οὔτ' ἐμὲ οὔτ' ἄλλον ἀνθρώπων οὐδένα. ἐπεὶ σὺ δέξαι' ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν;

ΣΩ. Καὶ σύ γ' ἂν καὶ οἱ ἄλλοι πάντες.

ΠΩΛ. Πολλοῦ γε δεῖ, ἀλλ' οὔτ' ἐγὼ οὔτε σὺ οὔτ' ἄλλος οὐδείς.

ΣΩ. Οὔκουν | ἀποκρινεῖ; 474 C

ΠΩΛ. Πάνυ μὲν οὖν· καὶ γὰρ ἐπιθυμῶ εἰδέναι ὅ τι ποτ' ἐρεῖς.

ΣΩ. Λέγε δή μοι, ἵν' εἰδῇς, ὥσπερ ἂν εἰ ἐξ ἀρχῆς σε ἠρώτων· πότερον δοκεῖ σοι, ὦ Πῶλε, κάκιον εἶναι τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι;

ΠΩΛ. Τὸ ἀδικεῖσθαι ἔμοιγε.

ΣΩ. Τί δὲ δή; αἴσχιον πότερον τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι; ἀποκρίνου.

ΠΩΛ. Τὸ ἀδικεῖν.

ΣΩ. Οὐκοῦν καὶ κάκιον, εἴπερ αἴσχιον.

ΠΩΛ. Ἥκιστά γε.

ΣΩ. Μανθάνω· οὐ ταὐτὸν ἡγεῖ σύ, ὡς ἔοικας, καλόν τε καὶ | ἀγαθόν, καὶ κακὸν καὶ αἰσχρόν. D

ΠΩΛ. Οὐ δῆτα.

ΣΩ. Τί δὲ τόδε; τὰ καλὰ πάντα, οἷον καὶ σώματα καὶ χρώματα καὶ σχήματα καὶ φωνὰς καὶ ἐπιτηδεύματα, εἰς οὐδὲν ἀποβλέπων καλεῖς ἑκάστοτε καλά; οἷον πρῶτον τὰ σώματα τὰ καλὰ οὐχὶ ἤτοι κατὰ τὴν χρείαν λέγεις καλὰ εἶναι, πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο, ἢ κατὰ ἡδονήν τινα, ἐὰν ἐν τῷ θεωρεῖσθαι χαίρειν ποιῇ τοὺς θεωροῦντας; ἔχεις τι ἐκτὸς τούτων λέγειν περὶ σώματος | κάλλους; E

ΠΩΛ. Οὐκ ἔχω.

ΣΩ. Οὐκοῦν καὶ τἆλλα πάντα οὕτω καὶ σχήματα καὶ χρώματα ἢ διὰ ἡδονήν τινα ἢ διὰ ὠφέλειαν ἢ δι' ἀμφότερα καλὰ προσαγορεύεις;

474 ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐ καὶ τὰς φωνὰς καὶ τὰ κατὰ τὴν μουσικὴν πάντα ὡσαύτως;

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ μὴν τά γε κατὰ τοὺς νόμους καὶ τὰ ἐπιτηδεύματα οὐ δήπου ἐκτὸς τούτων ἐστίν, τὰ καλά, τοῦ ἢ ὠφέλιμα εἶναι ἢ ἡδέα ἢ ἀμφότερα.

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ.

475 ΣΩ. Οὐκοῦν καὶ | τὸ τῶν μαθημάτων κάλλος ὡσαύτως;

ΠΩΛ. Πάνυ γε· καὶ καλῶς γε νῦν ὁρίζει, ὦ Σώκρατες, ἡδονῇ τε καὶ ἀγαθῷ ὁριζόμενος τὸ καλόν.

ΣΩ. Οὐκοῦν τὸ αἰσχρὸν τῷ ἐναντίῳ, λύπῃ τε καὶ κακῷ;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ὅταν ἄρα δυοῖν καλοῖν θάτερον κάλλιον ᾖ, ἢ τῷ ἑτέρῳ τούτοιν ἢ ἀμφοτέροις ὑπερβάλλον κάλλιόν ἐστιν, ἤτοι ἡδονῇ ἢ ὠφελείᾳ ἢ ἀμφοτέροις.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Καὶ ὅταν δὲ δὴ δυοῖν αἰσχροῖν τὸ
B ἕτερον αἴσχιον | ᾖ, ἤτοι λύπῃ ἢ κακῷ ὑπερβάλλον αἴσχιον ἔσται· ἢ οὐκ ἀνάγκη;

ΠΩΛ. Ναί.

ΣΩ. Φέρε δή, πῶς ἐλέγετο νῦν δὴ περὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι; οὐκ ἔλεγες τὸ μὲν ἀδικεῖσθαι κάκιον εἶναι, τὸ δὲ ἀδικεῖν αἴσχιον;

ΠΩΛ. Ἔλεγον.

ΣΩ. Οὐκοῦν εἴπερ αἴσχιον τὸ ἀδικεῖν τοῦ

ἀδικεῖσθαι, ἤτοι λυπηρότερόν ἐστιν καὶ λύπῃ 475 ὑπερβάλλον αἴσχιον ἂν εἴη ἢ κακῷ ἢ ἀμφοτέροις; οὐ καὶ τοῦτο ἀνάγκη;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Πρῶτον μὲν δὴ σκεψώμεθα, ἆρα λύπῃ | ὑπερβάλλει τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, καὶ C ἀλγοῦσι μᾶλλον οἱ ἀδικοῦντες ἢ οἱ ἀδικούμενοι;

ΠΩΛ. Οὐδαμῶς, ὦ Σώκρατες, τοῦτό γε.

ΣΩ. Οὐκ ἄρα λύπῃ γε ὑπερέχει.

ΠΩΛ. Οὐ δῆτα.

ΣΩ. Οὐκοῦν εἰ μὴ λύπῃ, ἀμφοτέροις μὲν οὐκ ἂν ἔτι ὑπερβάλλοι.

ΠΩΛ. Οὐ φαίνεται.

ΣΩ. Οὐκοῦν τῷ ἑτέρῳ λείπεται.

ΠΩΛ. Ναί.

ΣΩ. Τῷ κακῷ.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Οὐκοῦν κακῷ ὑπερβάλλον τὸ ἀδικεῖν κάκιον ἂν εἴη τοῦ ἀδικεῖσθαι.

ΠΩΛ. Δῆλον δὴ | ὅτι. D

ΣΩ. Ἄλλο τι οὖν ὑπὸ μὲν τῶν πολλῶν ἀνθρώπων καὶ ὑπὸ σοῦ ὡμολογεῖτο ἡμῖν ἐν τῷ ἔμπροσθεν χρόνῳ αἴσχιον εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι;

ΠΩΛ. Ναί.

ΣΩ. Νῦν δέ γε κάκιον ἐφάνη.

ΠΩΛ. Ἔοικε.

ΣΩ. Δέξαιο ἂν οὖν σὺ μᾶλλον τὸ κάκιον καὶ τὸ αἴσχιον ἀντὶ τοῦ ἧττον; μὴ ὄκνει ἀποκρίνασθαι, ὦ Πῶλε· οὐδὲν γὰρ βλαβήσει·

475 ἀλλὰ γενναίως τῷ λόγῳ ὥσπερ ἰατρῷ παρέχων
E ἀποκρίνου, καὶ | ἢ φάθι ἢ μὴ ἃ ἐρωτῶ.

ΠΩΛ. Ἀλλ' οὐκ ἂν δεξαίμην, ὦ Σώκρατες.

ΣΩ. Ἄλλος δέ τις ἀνθρώπων;

ΠΩΛ. Οὔ μοι δοκεῖ κατά γε τοῦτον τὸν λόγον.

ΣΩ. Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, ὅτι οὔτ' ἂν ἐγὼ οὔτ' ἂν σὺ οὔτ' ἄλλος οὐδεὶς ἀνθρώπων δέξαιτ' ἂν μᾶλλον ἀδικεῖν ἢ ἀδικεῖσθαι· κάκιον γὰρ τυγχάνει ὄν.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ὁρᾷς οὖν, ὦ Πῶλε, ὁ ἔλεγχος παρὰ τὸν ἔλεγχον παραβαλλόμενος ὅτι οὐδὲν ἔοικεν, ἀλλὰ σοὶ μὲν οἱ ἄλλοι πάντες ὁμολογοῦσιν πλὴν ἐμοῦ, ἐμοὶ δὲ σὺ ἐξαρκεῖς εἷς ὢν μόνος
476 καὶ ὁμολογῶν καὶ μαρτυρῶν, | καὶ ἐγὼ σὲ μόνον ἐπιψηφίζων τοὺς ἄλλους ἐῶ χαίρειν. καὶ τοῦτο μὲν ἡμῖν οὕτως ἐχέτω· μετὰ τοῦτο δὲ περὶ οὗ τὸ δεύτερον ἠμφεσβητήσαμεν σκεψώμεθα, τὸ ἀδικοῦντα διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστιν, ὡς σὺ ᾤου, ἢ μεῖζον τὸ μὴ διδόναι, ὡς αὖ ἐγὼ ᾤμην. σκοπώμεθα δὲ τῇδε· τὸ διδόναι δίκην καὶ τὸ κολάζεσθαι δικαίως ἀδικοῦντα ἆρα τὸ αὐτὸ καλεῖς;

and then the paradox: the wrong-doer is better off if punished,

ΠΩΛ. Ἔγωγε.

B ΣΩ. Ἔχεις | οὖν λέγειν, ὡς οὐχὶ τά γε δίκαια πάντα καλά ἐστιν, καθ' ὅσον δίκαια; καὶ διασκεψάμενος εἰπέ.

ΠΩΛ. Ἀλλά μοι δοκεῖ, ὦ Σώκρατες.

ΣΩ. Σκόπει δὴ καὶ τόδε· ἆρα εἴ τίς τι

ποιεῖ, ἀνάγκη τι εἶναι καὶ πάσχον ὑπὸ τούτου τοῦ ποιοῦντος; 476

ΠΩΛ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ἆρα τοῦτο πάσχον, ὃ τὸ ποιοῦν ποιεῖ, καὶ τοιοῦτον, οἷον ποιεῖ τὸ ποιοῦν; λέγω δὲ τὸ τοιόνδε· εἴ τις τύπτει, ἀνάγκη τι τύπτεσθαι;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Καὶ εἰ σφόδρα τύπτει ἢ ταχὺ ὁ τύπτων, οὕτω καὶ τὸ | τυπτόμενον τύπτεσθαι; C

ΠΩΛ. Ναί.

ΣΩ. Τοιοῦτον ἄρα πάθος τῷ τυπτομένῳ ἐστίν, οἷον ἂν τὸ τύπτον ποιῇ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ εἰ κάει τις, ἀνάγκη τι κάεσθαι;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Καὶ εἰ σφόδρα γε κάει ἢ ἀλγεινῶς, οὕτω κάεσθαι τὸ καόμενον ὡς ἂν τὸ κᾶον κάῃ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ εἰ τέμνει τις, ὁ αὐτὸς λόγος; τέμνεται γάρ τι.

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ εἰ μέγα γε ἢ βαθὺ τὸ τμῆμα ἢ ἀλγεινόν, τοιοῦτον τμῆμα | τέμνεται τὸ τεμνόμενον, οἷον τὸ τέμνον τέμνει; D

ΠΩΛ. Φαίνεται.

ΣΩ. Συλλήβδην δὴ ὅρα εἰ ὁμολογεῖς, ὃ ἄρτι ἔλεγον, περὶ πάντων, οἷον ἂν ποιῇ τὸ ποιοῦν, τοιοῦτον τὸ πάσχον πάσχειν.

ΠΩΛ. Ἀλλ' ὁμολογῶ.

476 ΣΩ. Τούτων δὴ ὁμολογουμένων, τὸ δίκην διδόναι πότερον πάσχειν τί ἐστιν ἢ ποιεῖν;

ΠΩΛ. Ἀνάγκη, ὦ Σώκρατες, πάσχειν.

ΣΩ. Οὐκοῦν ὑπό τινος ποιοῦντος;

ΠΩΛ. Πῶς γὰρ οὔ; ὑπό γε τοῦ κολάζοντος.

E ΣΩ. Ὁ δὲ ὀρθῶς κολάζων δικαίως | κολάζει;

ΠΩΛ. Ναί.

ΣΩ. Δίκαια ποιῶν ἢ οὔ;

ΠΩΛ. Δίκαια.

ΣΩ. Οὐκοῦν ὁ κολαζόμενος δίκην διδοὺς δίκαια πάσχει;

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τὰ δὲ δίκαιά που καλὰ ὡμολόγηται;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Τούτων ἄρα ὁ μὲν ποιεῖ καλά, ὁ δὲ πάσχει, ὁ κολαζόμενος.

ΠΩΛ. Ναί.

477 ΣΩ. Οὐκοῦν εἴπερ καλά, ἀγαθά; | ἢ γὰρ ἡδέα ἢ ὠφέλιμα.

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ἀγαθὰ ἄρα πάσχει ὁ δίκην διδούς;

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Ὠφελεῖται ἄρα;

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρα ἥνπερ ἐγὼ ὑπολαμβάνω τὴν ὠφέλειαν; βελτίων τὴν ψυχὴν γίγνεται, εἴπερ δικαίως κολάζεται;

ΠΩΛ. Εἰκός γε.

ΣΩ. Κακίας ἄρα ψυχῆς ἀπαλλάττεται ὁ δίκην διδούς;

ΠΩΛ. Ναί. 477

ΣΩ. Ἆρα οὖν τοῦ μεγίστου ἀπαλλάττεται
κακοῦ; ὧδε δὲ σκόπει· ἐν χρημάτων | κατα- B
σκευῇ ἀνθρώπου κακίαν ἄλλην τινὰ ἐνορᾷς ἢ
πενίαν;

ΠΩΛ. Οὔκ, ἀλλὰ πενίαν.

ΣΩ. Τί δ' ἐν σώματος κατασκευῇ; κακίαν ἂν φήσαις ἀσθένειαν εἶναι καὶ νόσον καὶ αἶσχος καὶ τὰ τοιαῦτα;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν καὶ ἐν ψυχῇ πονηρίαν ἡγεῖ τινὰ εἶναι;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ταύτην οὖν οὐκ ἀδικίαν καλεῖς καὶ ἀμαθίαν καὶ δειλίαν καὶ τὰ τοιαῦτα;

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν χρημάτων καὶ σώματος καὶ
ψυχῆς, τριῶν ὄντων, τριττὰς εἴρηκας | πονηρίας, C
πενίαν, νόσον, ἀδικίαν;

ΠΩΛ. Ναί.

ΣΩ. Τίς οὖν τούτων τῶν πονηριῶν αἰσχίστη; οὐχ ἡ ἀδικία καὶ συλλήβδην ἡ τῆς ψυχῆς πονηρία;

ΠΩΛ. Πολύ γε.

ΣΩ. Εἰ δὴ αἰσχίστη, καὶ κακίστη;

ΠΩΛ. Πῶς, ὦ Σώκρατες, λέγεις;

ΣΩ. Ὡδί· ἀεὶ τὸ αἴσχιστον ἤτοι λύπην μεγίστην παρέχον ἢ βλάβην ἢ ἀμφότερα αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν.

ΠΩΛ. Μάλιστα.

477 ΣΩ. Αἴσχιστον δὲ ἀδικία καὶ σύμπασα
D ψυχῆς πονηρία | νῦν δὴ ὡμολόγηται ἡμῖν;

ΠΩΛ. Ὡμολόγηται γάρ.

ΣΩ. Οὐκοῦν ἢ ἀνιαρότατόν ἐστι καὶ ἀνίᾳ ὑπερβάλλον αἴσχιστον τούτων ἐστὶν ἢ βλάβῃ ἢ ἀμφότερα;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ἆρ' οὖν ἀλγεινότερόν ἐστιν τοῦ πένεσθαι καὶ κάμνειν τὸ ἄδικον εἶναι καὶ ἀκόλαστον καὶ δειλὸν καὶ ἀμαθῆ;

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἀπὸ τούτων γε.

ΣΩ. Ὑπερφυεῖ τινι ἄρα ὡς μεγάλῃ βλάβῃ καὶ κακῷ θαυμασίῳ ὑπερβάλλουσα τἆλλα
E ἡ τῆς ψυχῆς πονηρία αἴσχιστόν | ἐστι πάντων, ἐπειδὴ οὐκ ἀλγηδόνι γε, ὡς ὁ σὸς λόγος.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ἀλλὰ μήν που τό γε μεγίστῃ βλάβῃ ὑπερβάλλον μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων.

ΠΩΛ. Ναί.

ΣΩ. Ἡ ἀδικία ἄρα καὶ ἡ ἀκολασία καὶ ἡ ἄλλη ψυχῆς πονηρία μέγιστον τῶν ὄντων κακόν ἐστιν;

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τίς οὖν τέχνη πενίας ἀπαλλάττει; οὐ χρηματιστική;

ΠΩΛ. Ναί.

ΣΩ. Τίς δὲ νόσου; οὐκ ἰατρική;

ΠΩΛ. Ἀνάγκη.

478 ΣΩ. Τίς δὲ πονηρίας καὶ | ἀδικίας; εἰ μὴ

οὕτως εὐπορεῖς, ὧδε σκόπει· ποῖ ἄγομεν καὶ 478
παρὰ τίνας τοὺς κάμνοντας τὰ σώματα;

ΠΩΛ. Παρὰ τοὺς ἰατρούς, ὦ Σώκρατες.

ΣΩ. Ποῖ δὲ τοὺς ἀδικοῦντας καὶ τοὺς ἀκολασταίνοντας;

ΠΩΛ. Παρὰ τοὺς δικαστὰς λέγεις;

ΣΩ. Οὐκοῦν δίκην δώσοντας;

ΠΩΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες;

ΠΩΛ. Δῆλον δή.

ΣΩ. Χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλ-
λάττει, ἰατρικὴ | δὲ νόσου, δίκη δὲ ἀκολασίας B
καὶ ἀδικίας.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τί οὖν τούτων κάλλιστόν ἐστιν ὧν λέγω;

ΠΩΛ. Τίνων λέγεις;

ΣΩ. Χρηματιστικῆς, ἰατρικῆς, δίκης.

ΠΩΛ. Πολὺ διαφέρει, ὦ Σώκρατες, ἡ δίκη.

ΣΩ. Οὐκοῦν αὖ ἤτοι ἡδονὴν πλείστην ποιεῖ ἢ ὠφέλειαν ἢ ἀμφότερα, εἴπερ κάλλιστόν ἐστιν;

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστιν, καὶ χαίρουσιν οἱ ἰατρευόμενοι;

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ.

ΣΩ. Ἀλλ' ὠφέλιμόν γε. ἦ γάρ;

ΠΩΛ. | Ναί. C

ΣΩ. Μεγάλου γὰρ κακοῦ ἀπαλλάττεται, ὥστε λυσιτελεῖ ὑπομεῖναι τὴν ἀλγηδόνα καὶ ὑγιῆ εἶναι.

478 ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἆρ' οὖν οὕτως ἂν περὶ σῶμα εὐδαιμονέστατος ἄνθρωπος εἴη, ἰατρευόμενος, ἢ μηδὲ κάμνων ἀρχήν;

ΠΩΛ. Δῆλον ὅτι μηδὲ κάμνων.

ΣΩ. Οὐ γὰρ τοῦτ' ἦν εὐδαιμονία, ὡς ἔοικε, κακοῦ ἀπαλλαγή, ἀλλὰ τὴν ἀρχὴν μηδὲ κτῆσις.

ΠΩΛ. Ἔστι ταῦτα.

ΣΩ. Τί δέ; ἀθλιώτερος πότερος δυοῖν
D ἐχόντοιν | κακὸν εἴτ' ἐν σώματι εἴτ' ἐν ψυχῇ, ὁ ἰατρευόμενος καὶ ἀπαλλαττόμενος τοῦ κακοῦ, ἢ ὁ μὴ ἰατρευόμενος, ἔχων δέ;

ΠΩΛ. Φαίνεταί μοι ὁ μὴ ἰατρευόμενος.

ΣΩ. Οὐκοῦν τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας;

as Polus at last reluctantly admits.

ΠΩΛ. Ἦν γάρ.

ΣΩ. Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ καὶ ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη.

ΠΩΛ. Ναί.

E ΣΩ. Εὐδαιμονέστατος μὲν ἄρα ὁ μὴ ἔχων | κακίαν ἐν ψυχῇ, ἐπειδὴ τοῦτο μέγιστον τῶν κακῶν ἐφάνη.

ΠΩΛ. Δῆλον δή.

ΣΩ. Δεύτερος δὲ δήπου ὁ ἀπαλλαττόμενος.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Οὗτος δ' ἦν ὁ νουθετούμενός τε καὶ ἐπιπληττόμενος καὶ δίκην διδούς.

ΠΩΛ. Ναί.

ΣΩ. Κάκιστα ἄρα ζῇ ὁ ἔχων ἀδικίαν καὶ μὴ ἀπαλλαττόμενος.

ΠΩΛ. Φαίνεται. 478

ΣΩ. Οὐκοῦν οὗτος τυγχάνει ὢν ὃς ἂν τὰ μέγιστα ἀδικῶν καὶ χρώμενος μεγίστῃ ἀδικίᾳ διαπράξηται ὥστε μήτε νουθετεῖσθαι | μήτε 479
κολάζεσθαι μήτε δίκην διδόναι, ὥσπερ σὺ φῂς Ἀρχέλαον παρεσκευάσθαι καὶ τοὺς ἄλλους τυράννους καὶ ῥήτορας καὶ δυνάστας;

ΠΩΛ. Ἔοικε.

ΣΩ. Σχεδὸν γάρ που οὗτοι, ὦ ἄριστε, τὸ αὐτὸ διαπεπραγμένοι εἰσίν, ὥσπερ ἂν εἴ τις τοῖς μεγίστοις νοσήμασιν συνισχόμενος διαπράξαιτο μὴ διδόναι δίκην τῶν περὶ τὸ σῶμα ἁμαρτημάτων τοῖς ἰατροῖς μηδὲ ἰατρεύεσθαι, φοβούμενος, ὡσπερανεὶ παῖς, τὸ κάεσθαι καὶ τὸ τέμνεσθαι, ὅτι | ἀλγεινόν. ἢ οὐ δοκεῖ καὶ σοὶ οὕτω; B

ΠΩΛ. Ἔμοιγε.

ΣΩ. Ἀγνοῶν γε, ὡς ἔοικεν, οἷόν ἐστιν ἡ ὑγίεια καὶ ἀρετὴ σώματος. κινδυνεύουσι γὰρ ἐκ τῶν νῦν ἡμῖν ὡμολογημένων τοιοῦτόν τι ποιεῖν καὶ οἱ τὴν δίκην φεύγοντες, ὦ Πῶλε, τὸ ἀλγεινὸν αὐτοῦ καθορᾶν, πρὸς δὲ τὸ ὠφέλιμον τυφλῶς ἔχειν καὶ ἀγνοεῖν, ὅσῳ ἀθλιώτερόν ἐστι μὴ ὑγιοῦς σώματος μὴ ὑγιεῖ ψυχῇ συνοικεῖν, ἀλλὰ σαθρᾷ καὶ ἀδίκῳ καὶ ἀνοσίῳ. ὅθεν καὶ πᾶν | ποιοῦσιν ὥστε δίκην μὴ διδόναι C
μηδ' ἀπαλλάττεσθαι τοῦ μεγίστου κακοῦ, καὶ χρήματα παρασκευαζόμενοι καὶ φίλους καὶ ὅπως ἂν ὦσιν ὡς πιθανώτατοι λέγειν. εἰ δὲ ἡμεῖς ἀληθῆ ὡμολογήκαμεν, ὦ Πῶλε, ἆρ' αἰσθάνει τὰ συμβαίνοντα ἐκ τοῦ λόγου; ἢ βούλει συλλογισώμεθα αὐτά;

Summary.

479 ΠΩΛ. Εἰ σοί γε καλῶς δοκεῖ.

ΣΩ. Ἆρ᾽ οὖν συμβαίνει μέγιστον κακὸν ἡ ἀδικία καὶ τὸ ἀδικεῖν;

ΠΩΛ. Φαίνεταί γε.

D ΣΩ. Καὶ | μὴν ἀπαλλαγή γε ἐφάνη τούτου τοῦ κακοῦ τὸ δίκην διδόναι;

ΠΩΛ. Κινδυνεύει.

ΣΩ. Τὸ δέ γε μὴ διδόναι ἐμμονὴ τοῦ κακοῦ;

ΠΩΛ. Ναί.

ΣΩ. Δεύτερον ἄρα ἐστὶν τῶν κακῶν μεγέθει τὸ ἀδικεῖν· τὸ δὲ ἀδικοῦντα μὴ διδόναι δίκην πάντων μέγιστόν τε καὶ πρῶτον κακῶν πέφυκεν.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Ἆρ οὖν περὶ τούτου, ὦ φίλε, ἠμφεσβητήσαμεν, σὺ μὲν τὸν Ἀρχέλαον εὐδαιμονίζων τὸν τὰ μέγιστα ἀδικοῦντα δίκην οὐδεμίαν

E διδόντα, ἐγὼ δὲ τοὐναντίον | οἰόμενος, εἴτε Ἀρχέλαος εἴτ᾽ ἄλλος ἀνθρώπων ὁστισοῦν μὴ δίδωσι δίκην ἀδικῶν, τούτῳ προσήκειν ἀθλίῳ εἶναι διαφερόντως τῶν ἄλλων ἀνθρώπων, καὶ ἀεὶ τὸν ἀδικοῦντα τοῦ ἀδικουμένου ἀθλιώτερον εἶναι καὶ τὸν μὴ διδόντα δίκην τοῦ διδόντος; οὐ ταῦτ᾽ ἦν τὰ ὑπ᾽ ἐμοῦ λεγόμενα;

ΠΩΛ. Ναί.

ΣΩ. Οὐκοῦν ἀποδέδεικται ὅτι ἀληθῆ ἐλέγετο;

ΠΩΛ. Φαίνεται.

480 ΣΩ. | Εἶεν· εἰ οὖν δὴ ταῦτα ἀληθῆ, ὦ Πῶλε, τίς ἡ μεγάλη χρεία ἐστὶν τῆς ῥητορικῆς; δεῖ μὲν γὰρ δὴ ἐκ τῶν νῦν ὡμολογημένων αὐτὸν ἑαυτὸν μάλιστα

What then is the use of Rhetoric?

φυλάττειν ὅπως μὴ ἀδικήσῃ, ὡς ἱκανὸν κακὸν 480 ἕξοντα. οὐ γάρ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἐὰν δέ γε ἀδικήσῃ ἢ αὐτὸς ἢ ἄλλος τις ὧν ἂν κήδηται, αὐτὸν ἑκόντα ἰέναι ἐκεῖσε, ὅπου ὡς τάχιστα δώσει δίκην, παρὰ τὸν δικαστήν, ὥσπερ παρὰ τὸν ἰατρόν, σπεύδοντα ὅπως μὴ ἐγχρονισθὲν τὸ | νόσημα τῆς ἀδικίας ὕπουλον B τὴν ψυχὴν ποιήσῃ καὶ ἀνίατον· ἢ πῶς λέγωμεν, ὦ Πῶλε, εἴπερ τὰ πρότερον μένει ἡμῖν ὁμολογήματα; οὐκ ἀνάγκη ταῦτα ἐκείνοις οὕτω μὲν συμφωνεῖν, ἄλλως δὲ μή;

ΠΩΛ. Τί γὰρ δὴ φῶμεν, ὦ Σώκρατες;

Not for the crimial to defend himself with, but to use in pleading for his own punishment,

ΣΩ. Ἐπὶ μὲν ἄρα τὸ ἀπολογεῖσθαι ὑπὲρ τῆς ἀδικίας τῆς αὑτοῦ ἢ γονέων ἢ ἑταίρων ἢ παίδων ἢ πατρίδος ἀδικούσης οὐ χρήσιμος οὐδὲν ἡ ῥητορικὴ ἡμῖν, ὦ Πῶλε, εἰ μὴ εἴ τις ὑπολάβοι ἐπὶ τοὐναντίον,— | κατηγορεῖν δεῖν C μάλιστα μὲν ἑαυτοῦ, ἔπειτα δὲ καὶ τῶν οἰκείων καὶ τῶν ἄλλων, ὃς ἂν ἀεὶ τῶν φίλων τυγχάνῃ ἀδικῶν, καὶ μὴ ἀποκρύπτεσθαι, ἀλλ' εἰς τὸ φανερὸν ἄγειν τὸ ἀδίκημα, ἵνα δῷ δίκην καὶ ὑγιὴς γένηται, ἀναγκάζειν δὲ καὶ αὑτὸν καὶ τοὺς ἄλλους μὴ ἀποδειλιᾶν, ἀλλὰ παρέχειν μύσαντα καὶ ἀνδρείως, ὥσπερ τέμνειν καὶ κάειν ἰατρῷ, τὸ ἀγαθὸν καὶ καλὸν διώκοντα, μὴ ὑπολογιζόμενον τὸ ἀλγεινόν, ἐὰν μέν γε πληγῶν ἄξια ἠδικηκὼς | ᾖ, τύπτειν παρέχοντα, ἐὰν δὲ D δεσμοῦ, δεῖν, ἐὰν δὲ ζημίας, ἀποτίνοντα, ἐὰν δὲ φυγῆς, φεύγοντα, ἐὰν δὲ θανάτου, ἀποθνή-

480 σκοντα, αὐτὸν πρῶτον ὄντα κατήγορον καὶ αὑτοῦ καὶ τῶν ἄλλων οἰκείων καὶ ἐπὶ τοῦτο χρώμενον τῇ ῥητορικῇ, ὅπως ἂν καταδήλων τῶν ἀδικημάτων γιγνομένων ἀπαλλάττωνται τοῦ μεγίστου κακοῦ, ἀδικίας. φῶμεν οὕτως ἢ μὴ φῶμεν, ὦ Πῶλε;

E ΠΩΛ. Ἄτοπα μέν, ὦ Σώκρατες, | ἔμοιγε δοκεῖ, τοῖς μέντοι ἔμπροσθεν ἴσως σοι ὁμολογεῖται.

ΣΩ. Οὐκοῦν ἢ κἀκεῖνα λυτέον ἢ τάδε ἀνάγκη συμβαίνειν;

ΠΩΛ. Ναί, τοῦτό γε οὕτως ἔχει.

and for the acquittal of his enemies.

ΣΩ. Τοὐναντίον δέ γε αὖ μεταβαλόντα, εἰ ἄρα δεῖ τινα κακῶς ποιεῖν, εἴτ' ἐχθρὸν εἴτε ὁντινοῦν, ἐὰν μόνον μὴ αὐτὸς ἀδικῆται ὑπὸ τοῦ ἐχθροῦ (τοῦτο μὲν γὰρ εὐλαβητέον),—ἐὰν δὲ ἄλλον ἀδικῇ ὁ ἐχθρός, παντὶ τρόπῳ παρασκευαστέον καὶ πράτ-
481 τοντα καὶ λέγοντα, | ὅπως μὴ δῷ δίκην μηδὲ ἔλθῃ παρὰ τὸν δικαστήν· ἐὰν δὲ ἔλθῃ, μηχανητέον, ὅπως ἂν διαφύγῃ καὶ μὴ δῷ δίκην ὁ ἐχθρός, ἀλλ' ἐάντε χρυσίον ἡρπακὼς ᾖ πολύ, μὴ ἀποδιδῷ τοῦτο, ἀλλ' ἔχων ἀναλίσκῃ καὶ εἰς ἑαυτὸν καὶ εἰς τοὺς ἑαυτοῦ ἀδίκως καὶ ἀθέως, ἐάντε θανάτου ἄξια ἠδικηκὼς ᾖ, ὅπως μὴ ἀποθανεῖται, μάλιστα μὲν μηδέποτε, ἀλλ' ἀθάνα-
B τος ἔσται πονηρὸς ὤν, εἰ δὲ μή, | ὅπως ὡς πλεῖστον χρόνον βιώσεται τοιοῦτος ὤν. ἐπὶ τὰ τοιαῦτα ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ἡ ῥητορικὴ χρήσιμος εἶναι, ἐπεὶ τῷ γε μὴ μέλλοντι ἀδικεῖν οὐ μεγάλη τίς μοι δοκεῖ ἡ χρεία αὐτῆς εἶναι,

εἰ δὴ καὶ ἔστιν τις χρεία, ὡς ἔν γε τοῖς 481 πρόσθεν οὐδαμῇ ἐφάνη οὖσα.

ΚΑΛ. Εἰπέ μοι, ὦ Χαιρεφῶν, σπουδάζει ταῦτα Σωκράτης ἢ παίζει;

Is Socrates joking in this?

ΧΑΙ. Ἐμοὶ μὲν δοκεῖ, ὦ Καλλίκλεις, ὑπερφυῶς σπουδάζειν· οὐδὲν μέντοι οἷον τὸ αὐτὸν ἐρωτᾶν.

ΚΑΛ. | Νὴ τοὺς θεοὺς ἀλλ' ἐπιθυμῶ. εἰπέ μοι, C ὦ Σώκρατες, πότερόν σε θῶμεν νυνὶ σπουδάζοντα ἢ παίζοντα; εἰ μὲν γὰρ σπουδάζεις τε καὶ τυγχάνει ταῦτα ἀληθῆ ὄντα ἃ λέγεις, ἄλλο τι ἢ ἡμῶν ὁ βίος ἀνατετραμμένος ἂν εἴη τῶν ἀνθρώπων καὶ πάντα τὰ ἐναντία πράττομεν, ὡς ἔοικεν, ἢ ἃ δεῖ;

Callicles holds that Might is Right. His Attack on a Life of Philosophy.

Καὶ ἔγωγε κατ' αὐτὸ τοῦτο οὐκ ἄγαμαι 482 Πῶλον, ὅτι σοι συνεχώρησεν τὸ ἀδικεῖν αἴσχιον εἶναι τοῦ ἀδικεῖσθαι· ἐκ ταύτης γὰρ | αὖ τῆς E ὁμολογίας αὐτὸς ὑπὸ σοῦ συμποδισθεὶς ἐν τοῖς λόγοις ἐπεστομίσθη, αἰσχυνθεὶς ἃ ἐνόει εἰπεῖν. σὺ γὰρ τῷ ὄντι, ὦ Σώκρατες, εἰς τοιαῦτα ἄγεις φορτικὰ καὶ δημηγορικά, φάσκων τὴν ἀλήθειαν διώκειν, ἃ φύσει μὲν οὐκ ἔστιν καλά, νόμῳ δέ. ὡς τὰ πολλὰ δὲ ταῦτα ἐναντί' ἀλλήλοις ἐστίν, ἥ τε φύσις καὶ ὁ νόμος· ἐὰν οὖν τις αἰσχύνηται καὶ μὴ τολμᾷ | λέγειν ἅπερ νοεῖ, ἀναγκάζεται ἐναντία 483 λέγειν. ὃ δὴ καὶ σὺ τοῦτο τὸ σοφὸν κατανενοηκὼς κακουργεῖς ἐν τοῖς λόγοις, ἐὰν μέν

Nature *vs.* convention, or law.

483 τις κατὰ νόμον λέγῃ, κατὰ φύσιν ὑπερωτῶν, ἐὰν δὲ τὰ τῆς φύσεως, τὰ τοῦ νόμου. ὥσπερ αὐτίκα ἐν τούτοις, τῷ ἀδικεῖν τε καὶ τῷ ἀδικεῖσθαι, Πώλου τὸ κατὰ νόμον αἴσχιον λέγοντος, σὺ τὸν νόμον ἐδιώκαθες κατὰ φύσιν. φύσει μὲν γὰρ πάναισχρόν ἐστιν (ὅπερ καὶ κάκιον) τὸ ἀδικεῖσθαι, νόμῳ δὲ τὸ ἀδικεῖν.
B οὐδὲ γὰρ ἀνδρὸς τοῦτό | γ' ἐστὶν τὸ πάθημα, τὸ ἀδικεῖσθαι, ἀλλ' ἀνδραπόδου τινός, ᾧ κρεῖττόν ἐστιν τεθνάναι ἢ ζῆν, ὅστις ἀδικούμενος καὶ προπηλακιζόμενος μὴ οἷόστε ἐστὶν αὐτὸς αὑτῷ βοηθεῖν μηδὲ ἄλλῳ οὗ ἂν κήδηται. ἀλλ', οἶμαι, οἱ τιθέμενοι τοὺς νόμους οἱ ἀσθενεῖς ἄνθρωποί εἰσιν καὶ οἱ πολλοί. πρὸς αὑτοὺς οὖν καὶ τὸ αὑτοῖς συμφέρον τούς τε νόμους τίθενται καὶ τοὺς ἐπαίνους ἐπαινοῦσιν καὶ τοὺς

Laws and ethical distinctions are devised by the weaker.

C ψόγους | ψέγουσιν· ἐκφοβοῦντες τοὺς ἐρρωμενεστέρους τῶν ἀνθρώπων καὶ δυνατοὺς ὄντας πλέον ἔχειν, ἵνα μὴ αὐτῶν πλέον ἔχωσιν, λέγουσιν ὡς αἰσχρὸν καὶ ἄδικον τὸ πλεονεκτεῖν, καὶ τοῦτό ἐστιν τὸ ἀδικεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν· ἀγαπῶσι γάρ, οἶμαι, αὐτοί, ἂν τὸ ἴσον ἔχωσι φαυλότεροι ὄντες. διὰ ταῦτα δὴ νόμῳ μὲν τοῦτο ἄδικον καὶ αἰσχρὸν λέγεται, τὸ πλέον ζητεῖν ἔχειν τῶν πολλῶν, καὶ ἀδικεῖν αὐτὸ καλοῦσιν· ἡ δέ γε,
D οἶμαι, φύσις | αὐτὴ ἀποφαίνει αὐτό, ὅτι δίκαιόν ἐστιν τὸν ἀμείνω τοῦ χείρονος πλέον ἔχειν καὶ τὸν δυνατώτερον τοῦ ἀδυνατωτέρου. δηλοῖ δὲ ταῦτα πολλαχοῦ ὅτι οὕτως

Nature favours the stronger.

ἔχει, καὶ ἐν τοῖς ἄλλοις ζῴοις καὶ τῶν 483
ἀνθρώπων ἐν ὅλαις ταῖς πόλεσι καὶ τοῖς
γένεσιν, ὅτι οὕτω τὸ δίκαιον κέκριται, τὸν
κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν.
ἐπεὶ ποίῳ δικαίῳ χρώμενος Ξέρξης ἐπὶ τὴν
Ἑλλάδα ἐστράτευσεν ἢ ὁ πατὴρ | αὐτοῦ ἐπὶ E
Σκύθας ἢ — ἄλλα μυρία ἄν τις ἔχοι τοιαῦτα
λέγειν; ἀλλ', οἶμαι, οὗτοι κατὰ φύσιν [τὴν
τοῦ δικαίου] ταῦτα πράττουσιν, καὶ ναὶ μὰ
Δία κατὰ νόμον γε τὸν τῆς φύσεως, οὐ μέντοι
ἴσως κατὰ τοῦτον, ὃν ἡμεῖς τιθέμεθα· πλάτ-
τοντες τοὺς βελτίστους καὶ ἐρρωμενεστάτους
ἡμῶν αὐτῶν, ἐκ νέων λαμβάνοντες, ὥσπερ
λέοντας, κατεπᾴδοντές τε καὶ γοητεύοντες κατα-
δουλούμεθα, | λέγοντες ὡς τὸ ἴσον χρὴ ἔχειν καὶ 484
τοῦτό ἐστιν τὸ καλὸν καὶ τὸ δίκαιον. ἐὰν δέ γε,
οἶμαι, φύσιν ἱκανὴν γένηται ἔχων ἀνήρ, πάντα
ταῦτα ἀποσεισάμενος καὶ διαρρήξας καὶ δια-
φυγών, καταπατήσας τὰ ἡμέτερα γράμματα καὶ
μαγγανεύματα καὶ ἐπῳδὰς καὶ νόμους τοὺς παρὰ
φύσιν ἅπαντας, ἐπαναστὰς ἀνεφάνη δεσπότης
ἡμέτερος ὁ δοῦλος, καὶ ἐνταῦθα ἐξέλαμψεν τὸ
τῆς φύσεως | δίκαιον. δοκεῖ δέ μοι καὶ B
Πίνδαρος ἅπερ ἐγὼ λέγω ἐνδείκνυσθαι ἐν τῷ
ᾄσματι ἐν ᾧ λέγει ὅτι

νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων·

οὗτος δὲ δή, φησίν,

ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί· τεκμαίρομαι
ἔργοισιν Ἡρακλέος, ἐπεὶ ἀπριάτας—

484 λέγει οὕτω πως (τὸ γὰρ ᾆσμα οὐκ ἐπίσταμαι)· λέγει δ' ὅτι οὔτε πριάμενος οὔτε δόντος τοῦ Γηρυόνου ἠλάσατο τὰς βοῦς, ὡς τούτου ὄντος C τοῦ δικαίου φύσει, καὶ | βοῦς καὶ τἆλλα κτήματα εἶναι πάντα τοῦ βελτίονός τε καὶ κρείττονος τὰ τῶν χειρόνων τε καὶ ἡττόνων.

Digression. The evil effects of philosophy if continued too long.

Τὸ μὲν οὖν ἀληθὲς οὕτως ἔχει, γνώσει δέ, ἂν ἐπὶ τὰ μείζω ἔλθῃς ἐάσας ἤδη φιλοσοφίαν. φιλοσοφία γάρ τοί ἐστιν, ὦ Σώκρατες, χαρίεν, ἄν τις αὐτοῦ μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ· ἐὰν δὲ περαιτέρω τοῦ δέοντος ἐνδιατρίψῃ, διαφθορὰ τῶν ἀνθρώπων. ἐὰν γὰρ καὶ πάνυ εὐφυὴς ᾖ καὶ πόρρω τῆς ἡλικίας φιλοσοφῇ, D ἀνάγκη πάντων ἄπειρον | γεγονέναι ἐστίν, ὧν χρὴ ἔμπειρον εἶναι τὸν μέλλοντα καλὸν κἀγαθὸν καὶ εὐδόκιμον ἔσεσθαι ἄνδρα. καὶ γὰρ τῶν νόμων ἄπειροι γίγνονται τῶν κατὰ τὴν πόλιν, καὶ τῶν λόγων, οἷς δεῖ χρώμενον ὁμιλεῖν ἐν τοῖς συμβολαίοις τοῖς ἀνθρώποις καὶ ἰδίᾳ καὶ δημοσίᾳ, καὶ τῶν ἡδονῶν τε καὶ ἐπιθυμιῶν τῶν ἀνθρωπείων, καὶ συλλήβδην τῶν ἠθῶν παντάπασιν ἄπειροι γίγνονται. ἐπειδὰν οὖν ἔλθωσιν εἴς τινα ἰδίαν ἢ πολιτικὴν πρᾶξιν, E καταγέλαστοι γίγνονται, | ὥσπερ γε, οἶμαι, οἱ πολιτικοί, ἐπειδὰν αὖ εἰς τὰς ὑμετέρας διατριβὰς ἔλθωσιν καὶ τοὺς λόγους, καταγέλαστοί εἰσιν. συμβαίνει γὰρ τὸ τοῦ Εὐριπίδου· λαμπρός τ' ἐστὶν ἕκαστος ἐν τούτῳ, καὶ ἐπὶ τοῦτ' ἐπείγεται,

νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
ἵν' αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν·

| ὅπου δ᾽ ἂν φαῦλος ᾖ, ἐντεῦθεν φεύγει καὶ 485
λοιδορεῖ τοῦτο, τὸ δ᾽ ἕτερον ἐπαινεῖ, εὐνοίᾳ τῇ ἑαυτοῦ, ἡγούμενος οὕτως αὐτὸς ἑαυτὸν ἐπαινεῖν. ἀλλ᾽, οἶμαι, τὸ ὀρθότατόν ἐστιν ἀμφοτέρων μετασχεῖν· φιλοσοφίας μὲν ὅσον παιδείας χάριν καλὸν μετεχειν, καὶ οὐκ αἰσχρὸν μειρακίῳ ὄντι φιλοσοφεῖν· ἐπειδὰν δὲ ἤδη πρεσβύτερος ὢν ἄνθρωπος ἔτι φιλοσοφῇ, καταγέλαστον, ὦ Σώκρατες, τὸ χρῆμα γίγνεται, καὶ ἔγωγε ὁμοιότατον πάσχω | πρὸς B
τοὺς φιλοσοφοῦντας ὥσπερ πρὸς τοὺς ψελλιζομένους καὶ παίζοντας. ὅταν μὲν γὰρ παιδίον ἴδω (ᾧ ἔτι προσήκει διαλέγεσθαι οὕτω) ψελλιζόμενον καὶ παῖζον, χαίρω τε καὶ χαρίεν μοι φαίνεται καὶ ἐλευθέριον καὶ πρέπον τῇ τοῦ παιδίου ἡλικίᾳ, ὅταν δὲ σαφῶς διαλεγομένου παιδαρίου ἀκούσω, πικρόν τί μοι δοκεῖ χρῆμα εἶναι καὶ ἀνιᾷ μου τὰ ὦτα καί μοι δοκεῖ δουλοπρεπές τι εἶναι· ὅταν δὲ ἀνδρὸς ἀκούσῃ τις ψελλιζομένου | ἢ παίζοντα ὁρᾷ, καταγέλα- C
στον φαίνεται καὶ ἄνανδρον καὶ πληγῶν ἄξιον. ταὐτὸν οὖν ἔγωγε τοῦτο πάσχω καὶ πρὸς τοὺς φιλοσοφοῦντας. παρὰ νέῳ μὲν γὰρ μειρακίῳ ὁρῶν φιλοσοφίαν ἄγαμαι, καὶ πρέπειν μοι δοκεῖ, καὶ ἡγοῦμαι ἐλεύθερόν τινα εἶναι τοῦτον τὸν ἄνθρωπον, τὸν δὲ μὴ φιλοσοφοῦντα ἀνελεύθερον καὶ οὐδέποτε οὐδενὸς ἀξιώσοντα ἑαυτὸν οὔτε καλοῦ οὔτε γενναίου πράγματος· ὅταν δὲ δὴ πρεσβύτερον | ἴδω ἔτι φιλοσοφοῦντα καὶ μὴ D
ἀπαλλαττόμενον, πληγῶν μοι δοκεῖ ἤδη δεῖσθαι, ὦ Σώκρατες, οὗτος ὁ ἀνήρ. ὃ γὰρ νῦν δὴ

No disgrace in youth, but ridiculous in a man,

485 ἔλεγον, ὑπάρχει τούτῳ τῷ ἀνθρώπῳ, κἂν πάνυ εὐφυὴς ᾖ, ἀνάνδρῳ γενέσθαι φεύγοντι τὰ μέσα τῆς πόλεως καὶ τὰς ἀγοράς, ἐν αἷς ἔφη ὁ ποιητὴς τοὺς ἄνδρας ἀριπρεπεῖς γίγνεσθαι, καταδεδυκότι δὲ τὸν λοιπὸν βίον βιῶναι μετὰ μειρακίων ἐν γωνίᾳ τριῶν ἢ τετ-
E τάρων ψιθυρίζοντα, ἐλεύθερον | δὲ καὶ μέγα καὶ ἱκανὸν μηδέποτε φθέγξασθαι.

and unmanly—

Ἐγὼ δέ, ὦ Σώκρατες, πρὸς σὲ ἐπιεικῶς ἔχω φιλικῶς· κινδυνεύω οὖν πεπονθέναι νῦν ὅπερ ὁ Ζῆθος πρὸς τὸν Ἀμφίονα ὁ Εὐριπίδου, οὗπερ ἐμνήσθην. καὶ γὰρ ἐμοὶ τοιαῦτ᾽ ἄττα ἐπέρχεται πρὸς σὲ λέγειν, οἷάπερ ἐκεῖνος πρὸς τὸν ἀδελφόν, ὅτι Ἀμελεῖς, ὦ Σώκρατες, ὧν δεῖ σε ἐπιμελεῖσθαι, καὶ φύσιν ψυχῆς ὧδε γενναίαν μειρακιώδει τινὶ διαπρέπεις μορφώ-
486 ματι, | καὶ οὔτ᾽ ἂν δίκης βουλαῖσι προσθεῖ᾽ ἂν ὀρθῶς λόγον, οὔτ᾽ εἰκὸς ἂν καὶ πιθανὸν λάκοις, οὔθ᾽ ὑπὲρ ἄλλου νεανικὸν βούλευμα βουλεύσαιο. καίτοι, ὦ φίλε Σώκρατες (καί μοι μηδὲν ἀχθεσθῇς· εὐνοίᾳ γὰρ ἐρῶ τῇ σῇ), οὐκ αἰσχρὸν δοκεῖ σοι εἶναι οὕτως ἔχειν, ὡς ἐγὼ σὲ οἶμαι ἔχειν καὶ τοὺς ἄλλους τοὺς πόρρω ἀεὶ φιλοσοφίας ἐλαύνοντας; νῦν γὰρ εἴ τις σοῦ λαβόμενος ἢ ἄλλου ὁτουοῦν τῶν τοιούτων εἰς τὸ δεσμωτήριον ἀπάγοι, φάσκων ἀδικεῖν μηδὲν ἀδικοῦντα, οἶσθ᾽
B ὅτι οὐκ ἂν ἔχοις | ὅ τι χρήσαιο σαυτῷ, ἀλλ᾽ εἰλιγγιῴης ἂν καὶ χασμῷο οὐκ ἔχων ὅ τι εἴποις, καὶ εἰς τὸ δικαστήριον ἀναβάς, κατηγόρου τυχὼν πάνυ φαύλου καὶ μοχθηροῦ,

leaving him helpless against the attacks of enemies.

ἀποθάνοις ἄν, εἰ βούλοιτο θανάτου σοι τιμᾶ- 486
σθαι. καίτοι πῶς σοφὸν τοῦτό ἐστιν, ὦ
Σώκρατες, εἴ τις εὐφυᾶ λαβοῦσα τέχνη
φῶτα ἔθηκε χείρονα, μήτε αὐτὸν αὑτῷ
δυνάμενον βοηθεῖν μηδ' ἐκσῶσαι ἐκ τῶν μεγί-
στων κινδύνων μήτε ἑαυτὸν μήτε ἄλλον μηδένα,
ὑπὸ δὲ τῶν ἐχθρῶν περισυλᾶσθαι πᾶσαν | τὴν C
οὐσίαν, ἀτεχνῶς δὲ ἄτιμον ζῆν ἐν τῇ πόλει;
τὸν δὲ τοιοῦτον, εἴ τι καὶ ἀγροικότερον εἰρῆσθαι,
ἔξεστιν ἐπὶ κόρρης τύπτοντα μὴ διδόναι δίκην.
ἀλλ' ὠγαθέ, ἐμοὶ πείθου, παῦσαι δ' ἐλέγχων,
πραγμάτων δ' εὐμουσίαν ἄσκει, καὶ ἄσκει
ὁπόθεν δόξεις φρονεῖν, ἄλλοις τὰ κομψὰ
ταῦτ' ἀφείς, εἴτε ληρήματα χρὴ φάναι εἶναι
εἴτε φλυαρίας, ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις
δόμοις· ζηλῶν οὐκ ἐλέγχοντας ἄνδρας τὰ
μικρὰ | ταῦτα, ἀλλ' οἷς ἔστιν καὶ βίος καὶ D
δόξα καὶ ἄλλα πολλὰ ἀγαθά. * * *

Ἐπεὶ πῶς ἂν εὐδαίμων γένοιτο ἄνθρωπος 491
δουλεύων ὁτῳοῦν; ἀλλὰ τοῦτ' ἔστιν E
τὸ κατὰ φύσιν καλὸν καὶ δίκαιον, ὃ
ἐγώ σοι νῦν παρρησιαζόμενος λέγω,
ὅτι δεῖ τὸν ὀρθῶς βιωσόμενον τὰς
μὲν ἐπιθυμίας τὰς ἑαυτοῦ ἐᾶν ὡς
μεγίστας εἶναι καὶ μὴ κολάζειν,
ταύταις δὲ ὡς μεγίσταις οὔσαις
ἱκανὸν | εἶναι ὑπηρετεῖν δι' ἀνδρείαν καὶ φρόνη- 492
σιν, καὶ ἀποπιμπλάναι ὧν ἂν ἀεὶ ἡ ἐπιθυμία
γίγνηται. ἀλλὰ τοῦτ', οἶμαι, τοῖς πολλοῖς οὐ
δυνατόν· ὅθεν ψέγουσιν τοὺς τοιούτους δι' αἰ-
σχύνην, ἀποκρυπτόμενοι τὴν αὑτῶν ἀδυναμίαν,

Nature's Right demands the satisfaction of our desires, not their repression, as does Conventional Right.

492 καὶ αἰσχρὸν δή φασιν εἶναι τὴν ἀκολασίαν, ὅπερ ἐν τοῖς πρόσθεν ἐγὼ ἔλεγον, δουλούμενοι τοὺς βελτίους τὴν φύσιν ἀνθρώπους, καὶ αὐτοὶ οὐ δυνάμενοι ἐκπορίζεσθαι ταῖς ἡδοναῖς πλή-
B ρωσιν ἐπαινοῦσιν τὴν σωφροσύνην | καὶ τὴν δικαιοσύνην διὰ τὴν αὐτῶν ἀνανδρίαν. ἐπεὶ οἷς γε ἐξ ἀρχῆς ὑπῆρξεν ἢ βασιλέων ὑέσιν εἶναι ἢ αὐτοὺς τῇ φύσει ἱκανοὺς ἐκπορίσασθαι ἀρχήν τινα ἢ τυραννίδα ἢ δυναστείαν, τί τῇ ἀληθείᾳ αἴσχιον καὶ κάκιον <ἂν> εἴη σωφροσύνης τούτοις τοῖς ἀνθρώποις· οἷς ἐξὸν ἀπολαύειν τῶν ἀγαθῶν καὶ μηδενὸς ἐμποδὼν ὄντος, αὐτοὶ ἑαυτοῖς δεσπότην ἐπαγάγοιντο τὸν τῶν πολλῶν ἀνθρώπων νόμον τε καὶ λόγον καὶ ψόγον; ἢ πῶς οὐκ ἂν ἄθλιοι γεγονότες εἴησαν ὑπὸ τοῦ |
C καλοῦ τοῦ τῆς δικαιοσύνης καὶ τῆς σωφροσύνης, μηδὲν πλέον νέμοντες τοῖς φίλοις τοῖς αὑτῶν ἢ τοῖς ἐχθροῖς, καὶ ταῦτα ἄρχοντες ἐν τῇ ἑαυτῶν πόλει; ἀλλὰ τῇ ἀληθείᾳ, ὦ Σώκρατες, ἣν φῂς σὺ διώκειν, ὧδ' ἔχει· τρυφὴ καὶ ἀκολασία καὶ ἐλευθερία, ἐὰν ἐπικουρίαν ἔχῃ, τοῦτ' ἔστιν ἀρετή τε καὶ εὐδαιμονία· τὰ δὲ ἄλλα ταῦτ' ἐστὶν τὰ καλλωπίσματα, τὰ παρὰ φύσιν συνθήματα ἀνθρώπων, φλυαρία καὶ οὐδενὸς ἄξια.

The True "Politics." The Judgment of the Dead.

521
A ΣΩ. Ἐπὶ ποτέραν οὖν με παρακαλεῖς τὴν θεραπείαν τῆς πόλεως, διόρισόν μοι· τὴν τοῦ διαμάχεσθαι Ἀθηναίοις,

True and false service to the state.

ὅπως ὡς βέλτιστοι ἔσονται, ὡς ἰατρόν, ἢ 521 ὡς διακονήσοντα καὶ πρὸς χάριν ὁμιλήσοντα; τἀληθῆ μοι εἰπέ, Καλλίκλεις· δίκαιος γὰρ εἶ, ὥσπερ ἤρξω παρρησιάζεσθαι πρὸς ἐμέ, διατελεῖν ἃ νοεῖς λέγων· καὶ νῦν εὖ καὶ γενναίως εἰπέ.

ΚΑΛ. Λέγω τοίνυν ὅτι ὡς διακονήσοντα.

ΣΩ. | Κολακεύσοντα ἄρα με, ὦ γενναιότατε, B παρακαλεῖς.

ΚΑΛ. Εἴ σοι Μυσόν γε ἥδιον καλεῖν, ὦ Σώκρατες· ὡς εἰ μὴ ταῦτά γε ποιήσεις—

ΣΩ. Μὴ εἴπῃς ὃ πολλάκις εἴρηκας, ὅτι ἀποκτενεῖ με ὁ βουλόμενος, ἵνα μὴ αὖ καὶ ἐγὼ εἴπω ὅτι Πονηρός γε ὢν ἀγαθὸν ὄντα· μηδ᾽ ὅτι ἀφαιρήσεται ἐάν τι ἔχω, ἵνα μὴ αὖ ἐγὼ εἴπω ὅτι Ἀλλ᾽ ἀφελόμενος οὐχ ἕξει ὅ τι χρήσηται αὐτοῖς, ἀλλ᾽ ὥσπερ με | ἀδίκως ἀφείλετο, οὕτως καὶ λαβὼν ἀδίκως C χρήσεται, εἰ δὲ ἀδίκως, αἰσχρῶς, εἰ δὲ αἰσχρῶς, κακῶς.

Dangers of the former.

ΚΑΛ. Ὥς μοι δοκεῖς, Σώκρατες, πιστεύειν μηδ᾽ ἂν ἓν τούτων παθεῖν, ὡς οἰκῶν ἐκποδὼν καὶ οὐκ ἂν εἰσαχθεὶς εἰς δικαστήριον ὑπὸ πάνυ ἴσως μοχθηροῦ ἀνθρώπου καὶ φαύλου.

ΣΩ. Ἀνόητος ἄρα εἰμί, ὦ Καλλίκλεις, ὡς ἀληθῶς, εἰ μὴ οἴομαι ἐν τῇδε τῇ πόλει ὁντινοῦν ἄν, ὅ τι τύχοι, τοῦτο παθεῖν. τόδε μέντοι εὖ οἶδ᾽ ὅτι, ἐάνπερ εἰσίω εἰς δικαστήριον | περὶ D τούτων τινὸς κινδυνεύων ὃ σὺ λέγεις, πονηρός τίς μ᾽ ἔσται ὁ εἰσάγων· οὐδεὶς γὰρ ἂν χρηστὸς μὴ ἀδικοῦντ᾽ ἄνθρωπον εἰσαγάγοι· καὶ οὐδέν

521 γε ἄτοπον εἰ ἀποθάνοιμι. βούλει σοι εἴπω δι' ὅ τι ταῦτα προσδοκῶ;

ΚΑΛ. Πάνυ γε.

Socrates the only true politician of his time.

ΣΩ. Οἶμαι μετ' ὀλίγων Ἀθηναίων, ἵνα μὴ εἴπω μόνος, ἐπιχειρεῖν τῇ ὡς ἀληθῶς πολιτικῇ τέχνῃ καὶ πράττειν τὰ πολιτικὰ μόνος τῶν νῦν. ἅτε οὖν οὐ πρὸς χάριν λέγων τοὺς λόγους οὓς λέγω
E ἑκάστοτε, ἀλλὰ πρὸς τὸ βέλτιστον, οὐ | πρὸς τὸ ἥδιστον, καὶ οὐκ ἐθέλων ποιεῖν ἃ σὺ παραινεῖς, τὰ κομψὰ ταῦτα, οὐχ ἕξω ὅ τι λέγω ἐν τῷ δικαστηρίῳ. ὁ αὐτὸς δέ μοι ἥκει λόγος, ὅνπερ πρὸς Πῶλον ἔλεγον· κρινοῦμαι γὰρ ὡς ἐν παιδίοις ἰατρὸς ἂν κρίνοιτο κατηγοροῦντος ὀψοποιοῦ. σκόπει γάρ, τί ἂν ἀπολογοῖτο ὁ τοιοῦτος ἄνθρωπος ἐν τούτοις ληφθείς, εἰ αὐτοῦ κατηγοροῖ τις λέγων ὅτι Ὦ παῖδες, πολλὰ ὑμᾶς καὶ κακὰ ὅδε εἴργασται ἀνὴρ καὶ αὐτούς, καὶ τοὺς νεωτάτους ὑμῶν διαφθείρει τέμνων
522 τε καὶ κάων, καὶ ἰσχναίνων | καὶ πνίγων ἀπορεῖν ποιεῖ, πικρότατα πώματα διδοὺς καὶ πεινῆν καὶ διψῆν ἀναγκάζων, οὐχ ὥσπερ ἐγὼ πολλὰ καὶ ἡδέα καὶ παντοδαπὰ εὐώχουν ὑμᾶς· τί ἂν οἴει ἐν τούτῳ τῷ κακῷ ἀποληφθέντα ἰατρὸν ἔχειν εἰπεῖν; ἢ <εἰ> εἴποι τὴν ἀλήθειαν, ὅτι Ταῦτα πάντα ἐγὼ ἐποίουν, ὦ παῖδες, ὑγιεινῶς, ὁπόσον οἴει ἂν ἀναβοῆσαι τοὺς τοιούτους δικαστάς; οὐ μέγα; οἴεσθαί γε χρή.

ΚΑΛ. Ἴσως.

ΣΩ. Οὐκοῦν οἴει ἐν πάσῃ ἀπορίᾳ ἂν αὐτὸν
B ἔχεσθαι, ὅ τι | χρὴ εἰπεῖν;

ΚΑΛ. Πάνυ γε. 522

ΣΩ. Τοιοῦτον μέντοι καὶ ἐγὼ οἶδ᾽ ὅτι πάθος πάθοιμι ἂν εἰσελθὼν εἰς δικαστήριον. οὔτε γὰρ ἡδονὰς ἃς ἐκπεπόρικα ἕξω αὐτοῖς λέγειν, ἃς οὗτοι εὐεργεσίας καὶ ὠφελίας νομίζουσιν, ἐγὼ δὲ οὔτε τοὺς πορίζοντας ζηλῶ οὔτε οἷς πορίζεται· ἐάν τέ τίς με ἢ νεωτέρους φῇ διαφθείρειν ἀπορεῖν ποιοῦντα, ἢ τοὺς πρεσβυτέρους κακηγορεῖν λέγοντα πικροὺς λόγους ἢ ἰδίᾳ ἢ δημοσίᾳ, οὔτε τὸ ἀληθὲς ἕξω εἰπεῖν, ὅτι Δικαίως πάντα ταῦτα ἐγὼ | λέγω, καὶ πράττω C τὸ ὑμέτερον δὴ τοῦτο, ὦ ἄνδρες δικασταί, οὔτε ἄλλο οὐδέν· ὥστε ἴσως, ὅ τι ἂν τύχω, τοῦτο πείσομαι.

ΚΑΛ. Δοκεῖ οὖν σοι, ὦ Σώκρατες, καλῶς ἔχειν ἄνθρωπος ἐν πόλει οὕτως διακείμενος καὶ ἀδύνατος ὢν ἑαυτῷ βοηθεῖν;

Righteousness, not Rhetoric, a man's best help before the court,—certainly before the Last Court.

ΣΩ. Εἰ ἐκεῖνό γε ἓν αὐτῷ ὑπάρχοι, ὦ Καλλίκλεις, ὃ σὺ πολλάκις ὡμολόγησας· εἰ βεβοηθηκὼς εἴη αὑτῷ, μήτε περὶ ἀνθρώπους μήτε περὶ | θεοὺς ἄδικον μηδὲν μήτε εἰρηκὼς D μήτε εἰργασμένος. αὕτη γάρ τις βοήθεια ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι. εἰ μὲν οὖν ἐμέ τις ἐξελέγχοι ταύτην τὴν βοήθειαν ἀδύνατον ὄντα ἐμαυτῷ καὶ ἄλλῳ βοηθεῖν, αἰσχυνοίμην ἂν καὶ ἐν πολλοῖς καὶ ἐν ὀλίγοις ἐξελεγχόμενος καὶ μόνος ὑπὸ μόνου, καὶ εἰ διὰ ταύτην τὴν ἀδυναμίαν ἀποθνῄσκοιμι, ἀγανακτοίην ἄν· εἰ δὲ κολακικῆς ῥητορικῆς ἐνδείᾳ τελευτῴην ἔγωγε,

522 εὖ | οἶδα ὅτι ῥᾳδίως ἴδοις ἄν με φέροντα τὸν
E θάνατον. αὐτὸ μὲν γὰρ τὸ ἀποθνῄσκειν οὐδεὶς φοβεῖται, ὅστις μὴ παντάπασιν ἀλόγιστός τε καὶ ἄνανδρός ἐστιν, τὸ δὲ ἀδικεῖν φοβεῖται· πολλῶν γὰρ ἀδικημάτων γέμοντα τὴν ψυχὴν εἰς Ἅιδου ἀφικέσθαι πάντων ἔσχατον κακῶν ἐστιν. εἰ δὲ βούλει, σοὶ ἐγώ, ὡς τοῦτο οὕτως ἔχει, ἐθέλω λόγον λέξαι.

ΚΑΛ. Ἀλλ' ἐπείπερ γε καὶ τἆλλα ἐπέρανας, καὶ τοῦτο πέρανον.

The Judgment of the Dead, as ordered by Zeus.

523 ΣΩ. | Ἄκουε δή, φασί, μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσει μῦθον, ὡς ἐγὼ οἶμαι, ἐγὼ δὲ λόγον· ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω ἃ μέλλω λέγειν. ὥσπερ γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον. ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἔστιν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ
B ὁσίως, ἐπειδὰν τελευτήσῃ, | εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι. τούτων δὲ δικασταὶ ἐπὶ Κρόνου καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευτᾶν. κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο· ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ οἱ ἐκ μακάρων νήσων ἰόντες ἔλεγον πρὸς τὸν Δία
C ὅτι φοιτῷέν | σφιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι.

εἶπεν οὖν ὁ Ζεύς· Ἀλλ' ἐγώ, ἔφη, παύσω τοῦτο 523
γιγνόμενον. νῦν μὲν γὰρ κακῶς αἱ δίκαι
δικάζονται. ἀμπεχόμενοι γάρ, ἔφη, οἱ κρινόμενοι
κρίνονται· ζῶντες γὰρ κρίνονται. πολλοὶ οὖν,
ἦ δ' ὅς, ψυχὰς πονηρὰς ἔχοντες ἠμφιεσμένοι
εἰσὶ σώματά τε καλὰ καὶ γένη καὶ πλούτους,
καί, ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς
πολλοὶ μάρτυρες, μαρτυρήσοντες ὡς δικαίως
βεβιώκασιν· οἱ οὖν δικασταὶ ὑπό τε τούτων |
ἐκπλήττονται, καὶ ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι D
δικάζουσι, πρὸ τῆς ψυχῆς τῆς αὑτῶν ὀφθαλ-
μοὺς καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι.
ταῦτα δὴ αὐτοῖς πάντα ἐπίπροσθεν γίγνεται,
καὶ τὰ αὑτῶν ἀμφιέσματα καὶ τὰ τῶν κρινομέ-
νων. πρῶτον μὲν οὖν, ἔφη, παυστέον ἐστὶν
προειδότας αὐτοὺς τὸν θάνατον· νῦν γὰρ
προΐσασι. τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ
Προμηθεῖ ὅπως ἂν παύσῃ αὐτῶν. |
ἔπειτα γυμνοὺς κριτέον ἁπάντων E
τούτων· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι.
καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα,
αὐτῇ τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα
ἐξαίφνης ἀποθανόντος ἑκάστου, ἔρημον πάντων
τῶν συγγενῶν καὶ καταλιπόντα ἐπὶ τῆς γῆς
πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα δικαία ἡ κρίσις
ᾖ. ἐγὼ μὲν οὖν ταῦτα ἐγνωκὼς πρότερος ἢ
ὑμεῖς ἐποιησάμην δικαστὰς ὑεῖς ἐμαυτοῦ, δύο
μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ
Ῥαδάμανθυν, | ἕνα δὲ ἐκ τῆς Εὐρώπης, 524
Αἰακόν· οὗτοι οὖν ἐπειδὰν τελευ-
τήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι, ἐν τῇ

Each soul to be stripped and alone,—

the judges—Minos, Rhadamanthus, and Aeacus.

24 τριόδῳ, ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ᾽ εἰς Τάρταρον. καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς κρινεῖ, τοὺς δὲ ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρίνειν, ἐὰν ἀπορῆτόν τι τὼ ἑτέρω, ἵνα ὡς δικαιοτάτη ἡ κρίσις ᾖ περὶ τῆς πορείας τοῖς ἀνθρώποις.

Ταῦτ᾽ ἐστίν, ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς B πιστεύω ἀληθῆ | εἶναι· καὶ ἐκ τούτων τῶν λόγων τοιόνδε τι λογίζομαι συμβαίνειν. ὁ θάνατος τυγχάνει ὤν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ᾽ ἀλλήλοιν· ἐπειδὰν δὲ διαλυθῆτον ἄρα ἀπ᾽ ἀλλήλοιν, οὐ πολὺ ἧττον ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὑτοῦ, ἥνπερ καὶ ὅτε ἔζη ὁ ἄνθρωπος, τό τε σῶμα τὴν φύσιν τὴν αὑτοῦ καὶ τὰ θεραπεύματα καὶ τὰ παθήματα ἔνδηλα πάντα. οἷον εἴ τινος C μέγα ἦν τὸ | σῶμα φύσει ἢ τροφῇ ἢ ἀμφότερα ζῶντος, τούτου καὶ ἐπειδὰν ἀποθάνῃ ὁ νεκρὸς μέγας, καὶ εἰ παχύς, παχὺς καὶ ἀποθανόντος, καὶ τἆλλα οὕτως· καὶ εἰ αὖ ἐπετήδευε κομᾶν, κομήτης τούτου καὶ ὁ νεκρός. μαστιγίας αὖ εἴ τις ἦν καὶ ἴχνη εἶχε τῶν πληγῶν οὐλὰς ἐν τῷ σώματι ἢ ὑπὸ μαστίγων ἢ ἄλλων τραυμάτων ζῶν, καὶ τεθνεῶτος τὸ σῶμα ἔστιν ἰδεῖν ταῦτα ἔχον· κατεαγότ᾽ αὖ εἴ του ἦν μέλη ἢ διεστραμμένα ζῶντος, καὶ τεθνεῶτος ταῦτα D ἔνδηλα. | ἑνὶ δὲ λόγῳ, οἷος εἶναι παρεσκεύαστο τὸ σῶμα ζῶν, ἔνδηλα ταῦτα καὶ τελευτήσαντος

The living state continued, after death, both of the body,

ἢ πάντα ἢ τὰ πολλὰ ἐπί τινα χρόνον. ταὐτὸν δή μοι δοκεῖ τοῦτ' ἄρα καὶ περὶ τὴν ψυχὴν εἶναι, ὦ Καλλίκλεις· ἔνδηλα πάντα ἐστὶν ἐν τῇ ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος, τά τε τῆς φύσεως καὶ τὰ παθήματα, ἃ διὰ τὴν ἐπιτήδευσιν ἑκάστου πράγματος ἔσχεν ἐν τῇ ψυχῇ ὁ ἄνθρωπος. ἐπειδὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστήν, οἱ μὲν ἐκ τῆς Ἀσίας παρὰ | τὸν Ῥαδάμανθυν, ὁ Ῥαδάμανθυς ἐκείνους ἐπιστήσας θεᾶται ἑκάστου τὴν ψυχήν, οὐκ εἰδὼς ὅτου ἐστίν, ἀλλὰ πολλάκις τοῦ μεγάλου βασιλέως ἐπιλαβόμενος ἢ ἄλλου ὁτουοῦν βασιλέως ἢ δυνάστου κατεῖδεν οὐδὲν ὑγιὲς ὂν τῆς ψυχῆς, ἀλλὰ διαμεμαστιγωμένην καὶ οὐλῶν μεστὴν ὑπὸ ἐπιορκιῶν καὶ ἀδικίας, ἃ | ἑκάστη ἡ πρᾶξις αὐτοῦ ἐξωμόρξατο εἰς τὴν ψυχήν, καὶ πάντα σκολιὰ ὑπὸ ψεύδους καὶ ἀλαζονείας καὶ οὐδὲν εὐθὺ διὰ τὸ ἄνευ ἀληθείας τεθράφθαι· καὶ ὑπὸ ἐξουσίας καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀκρατίας τῶν πράξεων ἀσυμμετρίας τε καὶ αἰσχρότητος γέμουσαν τὴν ψυχὴν εἶδεν· ἰδὼν δὲ ἀτίμως ταύτην ἀπέπεμψεν εὐθὺ τῆς φρουρᾶς, οἷ μέλλει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πάθη.

[Margin: 52[4]; and of the soul.; E; 525]

Προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι, | ὑπ' ἄλλου ὀρθῶς τιμωρουμένῳ, ἢ βελτίονι γίγνεσθαι καὶ ὀνίνασθαι ἢ παραδείγματι τοῖς ἄλλοις γίγνεσθαι, ἵνα ἄλλοι ὁρῶντες πάσχοντα ἃ ἂν πάσχῃ φοβούμενοι βελτίους γίγνωνται. εἰσὶν δὲ οἱ μὲν ὠφελούμενοί τε καὶ δίκην διδόντες ὑπὸ

[Margin: B; Punishment is for betterment or for warning;]

25 θεῶν τε καὶ ἀνθρώπων οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμάρτωσιν· ὅμως δὲ δι' ἀλγηδόνων καὶ ὀδυνῶν γίγνεται αὐτοῖς ἡ ὠφελία καὶ ἐνθάδε καὶ ἐν Ἅιδου· οὐ γὰρ οἷόντε ἄλλως C ἀδικίας ἀπαλλάττεσθαι. οἳ | δ' ἂν τὰ ἔσχατα ἀδικήσωσι καὶ διὰ τοιαῦτα ἀδικήματα ἀνίατοι γένωνται, ἐκ τούτων τὰ παραδείγματα γίγνεται, καὶ οὗτοι αὐτοὶ μὲν οὐκέτι ὀνίνανται οὐδέν, ἅτε ἀνίατοι ὄντες, ἄλλοι δὲ ὀνίνανται οἱ τούτους ὁρῶντες διὰ τὰς ἁμαρτίας τὰ μέγιστα καὶ ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας τὸν ἀεὶ χρόνον, ἀτεχνῶς παραδείγματα ἀνηρτημένους ἐκεῖ ἐν Ἅιδου ἐν τῷ δεσμωτηρίῳ, τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θεάματα καὶ D νουθετήματα. | ὧν ἐγώ φημι ἕνα καὶ Ἀρχέλαον ἔσεσθαι, εἰ ἀληθῆ λέγει Πῶλος, καὶ ἄλλον ὅστις ἂν τοιοῦτος τύραννος ᾖ· οἶμαι δὲ καὶ τοὺς πολλοὺς εἶναι τούτων τῶν παραδειγμάτων ἐκ τυράννων καὶ βασιλέων καὶ δυναστῶν καὶ τὰ τῶν πόλεων πραξάντων γεγονότας· οὗτοι γὰρ διὰ τὴν ἐξουσίαν μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα ἁμαρτάνουσι. μαρτυρεῖ δὲ τούτοις καὶ Ὅμηρος· βασιλέας γὰρ καὶ δυνάστας ἐκεῖνος πεποίηκεν E τοὺς ἐν Ἅιδου τὸν | ἀεὶ χρόνον τιμωρουμένους, Τάνταλον καὶ Σίσυφον καὶ Τιτυόν· Θερσίτην δέ, καὶ εἴ τις ἄλλος πονηρὸς ἦν ἰδιώτης, οὐδεὶς πεποίηκεν μεγάλαις τιμωρίαις συνεχόμενον ὡς ἀνίατον· οὐ γάρ, οἶμαι, ἐξῆν αὐτῷ· διὸ καὶ εὐδαιμονέστερος ἦν ἢ οἷς ἐξῆν. ἀλλὰ γάρ, ὦ

that of the greatest and incurable criminals, for the latter—

the most of them being from among the powerful;

Καλλίκλεις, ἐκ τῶν δυναμένων εἰσὶ καὶ οἱ σφόδρα πονηροὶ γιγνόμενοι ἄνθρωποι· οὐδὲν 526 μὴν κωλύει καὶ ἐν τούτοις ἀγαθοὺς ἄνδρας ἐγγίγνεσθαι, καὶ σφόδρα γε ἄξιον ἄγασθαι τῶν γιγνομένων· χαλεπὸν γάρ, ὦ Καλλίκλεις, καὶ πολλοῦ ἐπαίνου ἄξιον ἐν μεγάλῃ ἐξουσίᾳ τοῦ ἀδικεῖν γενόμενον δικαίως διαβιῶναι. ὀλίγοι δὲ γίγνονται οἱ τοιοῦτοι· ἐπεὶ καὶ ἐνθάδε καὶ ἄλλοθι γεγόνασιν, οἶμαι δὲ καὶ ἔσονται καλοὶ κἀγαθοὶ ταύτην τὴν ἀρετὴν τοῦ δικαίως διαχειρίζειν ἃ ἄν τις B ἐπιτρέπῃ· εἷς δὲ καὶ πάνυ ἐλλόγιμος γέγονεν καὶ εἰς τοὺς ἄλλους Ἕλληνας, Ἀριστείδης ὁ Λυσιμάχου· οἱ δὲ πολλοί, ὦ ἄριστε, κακοὶ γίγνονται τῶν δυναστῶν.

for few of these are good.

Ὅπερ οὖν ἔλεγον, ἐπειδὰν ὁ Ῥαδάμανθυς ἐκεῖνος τοιοῦτόν τινα λάβῃ, ἄλλο μὲν περὶ αὐτοῦ οὐκ οἶδεν οὐδέν, οὔθ' ὅστις οὔθ' ὧντινων, ὅτι δὲ πονηρός τις· καὶ τοῦτο κατιδὼν ἀπέπεμψεν εἰς Τάρταρον, ἐπισημηνάμενος, ἐάντε ἰάσιμος ἐάντε ἀνίατος δοκῇ εἶναι· ὁ δὲ ἐκεῖσε ἀφικόμενος τὰ προσ- C ήκοντα πάσχει. ἐνίοτε δ' ἄλλην εἰσιδὼν ὁσίως βεβιωκυῖαν καὶ μετ' ἀληθείας, ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινός, μάλιστα μέν, ἔγωγέ φημι, ὦ Καλλίκλεις, φιλοσόφου τὰ αὑτοῦ πράξαντος καὶ οὐ πολυπραγμονήσαντος ἐν τῷ βίῳ, ἠγάσθη τε καὶ ἐς μακάρων νήσους ἀπέπεμψε. ταὐτὰ δὲ ταῦτα καὶ ὁ Αἰακός· ἑκάτερος τούτων ῥάβδον ἔχων δικάζει· ὁ δὲ Μίνως ἐπισκοπῶν κάθηται, μόνος ἔχων χρυσοῦν σκῆπ-

Tartarus, and the isles of the blest.

526 τρον, ὥς φησιν | Ὀδυσσεὺς ὁ Ὁμήρου ἰδεῖν
D αὐτὸν

χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν.

In preparation for this trial I, Socrates, spend my life, and summon others to the same.

Ἐγὼ μὲν οὖν, ὦ Καλλίκλεις, ὑπὸ τούτων τῶν λόγων πέπεισμαι, καὶ σκοπῶ ὅπως ἀποφανοῦμαι τῷ κριτῇ ὡς ὑγιεστάτην τὴν ψυχήν· χαίρειν οὖν ἐάσας τὰς τιμὰς τὰς τῶν πολλῶν ἀνθρώπων, τὴν ἀλήθειαν σκοπῶν πειράσομαι τῷ ὄντι ὡς ἂν δύνωμαι βέλτιστος ὢν καὶ ζῆν καὶ ἐπειδὰν ἀποθνήσκω ἀποθνήσκειν.
E παρακαλῶ | δὲ καὶ τοὺς ἄλλους πάντας ἀνθρώπους, καθ᾽ ὅσον δύναμαι, καὶ δὴ καὶ σὲ ἀντιπαρακαλῶ ἐπὶ τοῦτον τὸν βίον καὶ τὸν ἀγῶνα τοῦτον, ὃν ἐγώ φημι ἀντὶ πάντων τῶν ἐνθάδε ἀγώνων εἶναι, καὶ ὀνειδίζω σοι, ὅτι οὐχ οἷός τ᾽ ἔσει σαυτῷ βοηθῆσαι, ὅταν ἡ δίκη σοι ᾖ καὶ ἡ κρίσις ἣν νῦν δὴ ἐγὼ ἔλεγον, ἀλλὰ ἐλθὼν παρὰ τὸν δικαστὴν τὸν τῆς Αἰγίνης υἱόν,
527 ἐπειδάν σου ἐπιλαβόμενος | ἄγῃ, χασμήσει καὶ εἰλιγγιάσεις οὐδὲν ἧττον ἢ ἐγὼ ἐνθάδε σὺ ἐκεῖ, καί σε ἴσως τυπτήσει τις καὶ ἐπὶ κόρρης ἀτίμως, καὶ πάντως προπηλακιεῖ.

You three wisest men of Greece can show nothing wiser.

Τάχα δ᾽ οὖν ταῦτα μῦθός σοι δοκεῖ λέγεσθαι ὥσπερ γραός, καὶ καταφρονεῖς αὐτῶν. καὶ οὐδέν γ᾽ ἂν ἦν θαυμαστὸν καταφρονεῖν τούτων, εἴ πῃ ζητοῦντες εἴχομεν αὐτῶν βελτίω καὶ ἀληθέστερα εὑρεῖν· νῦν δὲ ὁρᾷς, ὅτι τρεῖς ὄντες ὑμεῖς, οἵπερ σοφώτατοί ἐστε τῶν νῦν Ἑλλήνων, σύ

τε καὶ Πῶλος καὶ Γοργίας, | οὐκ ἔχετε ἀπο- 527
δεῖξαι, ὡς δεῖ ἄλλον τινὰ βίον ζῆν ἢ τοῦτον, B
ὅσπερ καὶ ἐκεῖσε φαίνεται συμφέρων. ἀλλ᾽ ἐν
τοσούτοις λόγοις τῶν ἄλλων ἐλεγχο-
μένων μόνος οὗτος ἠρεμεῖ ὁ λόγος,
ὡς εὐλαβητέον ἐστὶν τὸ ἀδικεῖν μᾶλλον ἢ τὸ
ἀδικεῖσθαι, καὶ παντὸς μᾶλλον ἀνδρὶ μελετητέον
οὐ τὸ δοκεῖν εἶναι ἀγαθὸν ἀλλὰ τὸ εἶναι, καὶ
ἰδίᾳ καὶ δημοσίᾳ· ἐὰν δέ τις κατά τι κακὸς
γίγνηται, κολαστέος ἐστί, καὶ τοῦτο δεύτερον
ἀγαθὸν μετὰ τὸ εἶναι δίκαιον, | τὸ γίγνεσθαι C
καὶ κολαζόμενον διδόναι δίκην· καὶ πᾶσαν
κολακείαν καὶ τὴν περὶ ἑαυτὸν καὶ τὴν περὶ
τοὺς ἄλλους, καὶ περὶ ὀλίγους καὶ περὶ πολ-
λούς, φευκτέον· καὶ τῇ ῥητορικῇ οὕτω χρηστέον,
ἐπὶ τὸ δίκαιον ἀεί, καὶ τῇ ἄλλῃ πάσῃ πράξει.
ἐμοὶ οὖν πειθόμενος ἀκολούθησον
ἐνταῦθα, οἷ ἀφικόμενος εὐδαιμονήσεις
καὶ ζῶν καὶ τελευτήσας, ὡς ὁ σὸς λόγος
σημαίνει. καὶ ἔασόν τινά σου καταφρονῆσαι
ὡς ἀνοήτου καὶ προπηλακίσαι, ἐὰν βούληται,
καὶ ναὶ μὰ Δία, | σύ γε θαρρῶν, πατάξαι τὴν D
ἄτιμον ταύτην πληγήν· οὐδὲν γὰρ δεινὸν πείσει,
ἐὰν τῷ ὄντι ᾖς καλὸς κἀγαθός, ἀσκῶν ἀρετήν.
κἄπειτα οὕτω κοινῇ ἀσκήσαντες, τότε ἤδη, ἐὰν
δοκῇ χρῆναι, ἐπιθησόμεθα τοῖς πολιτικοῖς, ἢ
ὁποῖον ἄν τι ἡμῖν δοκῇ, τότε βουλευσόμεθα,
βελτίους ὄντες βουλεύεσθαι ἢ νῦν. αἰσχρὸν
γὰρ ἔχοντάς γε ὡς νῦν φαινόμεθα ἔχειν, ἔπειτα
νεανιεύεσθαι ὥς τι ὄντας, οἷς οὐδέποτε ταὐτὰ
δοκεῖ περὶ τῶν αὐτῶν, καὶ ταῦτα περὶ τῶν

Summary.

Final exhortation.

527 *μεγίστων· | εἰς τοσοῦτον ἥκομεν ἀπαιδευσίας·*
E *ὥσπερ οὖν ἡγεμόνι τῷ λόγῳ χρησώμεθα τῷ νῦν παραφανέντι, ὃς ἡμῖν σημαίνει ὅτι οὗτος ὁ τρόπος ἄριστος τοῦ βίου, καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετὴν ἀσκοῦντας καὶ ζῆν καὶ τεθνάναι. τούτῳ οὖν ἑπώμεθα, καὶ τοὺς ἄλλους παρακαλῶμεν, μὴ ἐκείνῳ, ᾧ σὺ πιστεύων ἐμὲ παρακαλεῖς· ἔστι γὰρ οὐδενὸς ἄξιος, ὦ Καλλίκλεις.*

EUTHYDEMUS

The Sophisms of the Sophists.

SOCRATES. CRITO.

The two sophists and their pretensions.

271 Τίς ἦν, ὦ Σώκρατες, ᾧ χθὲς ἐν Λυκείῳ διελέγου; ἦ πολὺς ὑμᾶς ὄχλος περιειστήκει, ὥστ' ἔγωγε βουλόμενος ἀκούειν προσελθὼν οὐδὲν οἷόστ' ἦν ἀκοῦσαι σαφές· ὑπερκύψας μέντοι κατεῖδον, και μοι ἔδοξεν εἶναι ξένος τις, ᾧ διελέγου. τίς ἦν;

ΣΩ. Ὁπότερον καὶ ἐρωτᾷς, ὦ Κρίτων; οὐ γὰρ εἷς, ἀλλὰ δύ' ἤστην.

ΚΡ. Ὃν μὲν ἐγὼ λέγω, ἐκ δεξιᾶς τρίτος
B ἀπὸ σοῦ καθῆστο· ἐν | μέσῳ δ' ὑμῶν τὸ Ἀξιόχου μειράκιον ἦν. καὶ μάλα πολύ, ὦ Σώκρατες, ἐπιδεδωκέναι μοι ἔδοξεν, καὶ τοῦ ἡμετέρου οὐ πολύ τι τὴν ἡλικίαν διαφέρειν Κριτοβούλου. ἀλλ' ἐκεῖνος μὲν σκληφρός, οὗτος δὲ προφερὴς καὶ καλὸς κἀγαθὸς τὴν ὄψιν.

ΣΩ. Εὐθύδημος οὗτός ἐστιν, ὦ Κρίτων, ὃν

ἐρωτᾷς· ὁ δὲ παρ᾽ ἐμὲ καθήμενος ἐξ ἀριστερᾶς 271
ἀδελφὸς τούτου, Διονυσόδωρος· μετεῖχε δὲ καὶ
οὗτος τῶν λόγων.

ΚΡ. Οὐδέτερον γιγνώσκω, ὦ Σώκρατες.
καινοί τινες αὖ | οὗτοι, ὡς ἔοικε, σοφισταί· C
ποδαποί; καὶ τίς ἡ σοφία;

ΣΩ. Οὗτοι τὸ μὲν γένος, ὡς ἐγῷμαι, ἐντεῦ-
θέν ποθέν εἰσιν ἐκ Χίου, ἀπῴκησαν δὲ ἐς
Θουρίους· φεύγοντες δὲ ἐκεῖθεν πόλλ᾽ ἤδη ἔτη
περὶ τούσδε τοὺς τόπους διατρίβουσιν. ὃ δὲ
σὺ ἐρωτᾷς τὴν σοφίαν αὐτοῖν, θαυμασία, ὦ
Κρίτων· πάσσοφοι ἀτεχνῶς. ὡς ἔγωγε οὐδ᾽
ᾔδη πρὸ τοῦ, ὅ τι εἶεν οἱ παγκρατιασταί·
τούτω γάρ ἐστον κομιδῇ παμμάχω, οὐ κατὰ
τὼ Ἀκαρνᾶνε τὼ παγκρατιαστὰ ἀδελφώ· ἐκείνω
μὲν γὰρ | τῷ σώματι μόνον οἵωτε μάχεσθαι· D
τούτω δὲ πρῶτον μὲν τῷ σώματι δεινοτάτω
ἐστὸν καὶ μάχῃ πάντων κρατεῖν (ἐν ὅπλοις
γὰρ αὐτώ τε σοφὼ πάνυ μάχεσθαι καὶ ἄλλον,
ὃς ἂν | διδῷ μισθόν, οἵωτε ποιῆσαι)· ἔπειτα 272
τὴν ἐν τοῖς δικαστηρίοις μάχην κρατίστω καὶ
ἀγωνίσασθαι καὶ ἄλλον διδάξαι λέγειν τε καὶ
συγγράφεσθαι λόγους οἵους εἰς τὰ δικαστήρια.
πρὸ τοῦ μὲν οὖν ταῦτα δεινὼ ἤστην μόνον, νῦν
δὲ τέλος ἐπιτεθήκατον παγκρατιαστικῇ τέχνῃ.
ᾗ γὰρ ἦν λοιπὴ αὐτοῖν μάχη ἀργός, ταύτην
νῦν ἐξείργασθον, ὥστε μηδ᾽ ἂν ἕνα αὐτοῖς
οἷόντ᾽ εἶναι μηδ᾽ ἀνταραι· οὕτω δεινὼ γεγόνατον
ἐν τοῖς λόγοις μάχεσθαί τε καὶ ἐξελέγχειν τὸ
ἀεὶ λεγόμενον, ὁμοίως ἐάντε ψεῦδος | ἐάντε B
ἀληθὲς ᾖ. ἐγὼ μὲν οὖν, ὦ Κρίτων, ἐν νῷ

272 ἔχω τοῖν ἀνδροῖν παραδοῦναι ἐμαυτόν· και
γάρ φατον ἐν ὀλίγῳ χρόνῳ ποιῆσαι ἂν και
ἄλλον ὁντινοῦν τὰ αὐτὰ ταῦτα δεινόν. * * *

275 Ὑμεῖς ἄρα, ἦν δ' ἐγώ, ὦ Διονυσόδωρε
τῶν νῦν ἀνθρώπων κάλλιστ' ἂ
προτρέψαιτε εἰς φιλοσοφίαν κα
ἀρετῆς ἐπιμέλειαν; Οἰόμεθά γε δή
ὦ Σώκρατες. Τῶν μὲν τοίνυν ἄλλων τὴν ἐπί-
δειξιν ἡμῖν, ἔφην, εἰς αὖθις ἀπόθεσθον, τοῦτ
δ' αὐτὸ ἐπιδείξασθον· τουτονὶ τὸν νεανίσκο
πείσατον, ὡς χρὴ φιλοσοφεῖν καὶ ἀρετῆ
ἐπιμελεῖσθαι, καὶ χαριεῖσθον ἐμοί τε κα
τουτοισὶ πᾶσιν. συμβέβηκεν γάρ τι τοιοῦτο
τῷ μειρακίῳ τούτῳ· ἐγώ τε καὶ οἵδε πάντε
τυγχάνομεν ἐπιθυμοῦντες ὡς βέλτιστον αὐτὸ
γενέσθαι. ἔστι δὲ οὗτος Ἀξιόχου μὲν ὑὸς το
B Ἀλκιβιάδου τοῦ παλαιοῦ, | αὐτανεψιὸς δὲ το
νῦν ὄντος Ἀλκιβιάδου· ὄνομα δ' αὐτῷ Κλει
νίας· ἔστι δὲ νέος· φοβούμεθα δὴ περὶ αὐτ
(οἷον εἰκὸς περὶ νέῳ) μή τις φθῇ ἡμᾶς ἐπ
ἄλλο τι ἐπιτήδευμα τρέψας τὴν διάνοιαν κα
διαφθείρῃ. σφὼ οὖν ἥκετον εἰς κάλλιστο
ἀλλ' εἰ μή τι διαφέρει ὑμῖν, λάβετον πεῖρα
τοῦ μειρακίου καὶ διαλέχθητον ἐναντίον ἡμῶ
εἰπόντος οὖν ἐμοῦ σχεδόν τι αὐτὰ ταῦτα
Εὐθύδημος ἅμα ἀνδρείως τε καὶ θαρραλέω
C Ἀλλ' οὐδὲν διαφέρει, | ὦ Σώκρατες, ἔφη, ἐὰ
μόνον ἐθέλῃ ἀποκρίνεσθαι ὁ νεανίσκος. Ἀλλ
μὲν δή, ἔφην ἐγώ, τοῦτό γε καὶ εἴθισται· θαμὰ γὰ
αὐτῷ οἵδε προσιόντες πολλὰ ἐρωτῶσίν τε καὶ δια
λέγονται, ὥστε ἐπιεικῶς θαρρεῖ τὸ ἀποκρίνασθα

They are asked and are willing to give an exhibition.

Τὰ δὴ μετὰ ταῦτα, ὦ Κρίτων, πῶς ἂν 275
καλῶς σοι διηγησαίμην; οὐ γὰρ σμικρὸν τὸ
ἔργον, δύνασθαι ἀναλαβεῖν διεξιόντα σοφίαν
ἀμήχανον ὅσην· ὥστ' ἔγωγε, καθάπερ οἱ
ποιηταί, | δέομαι ἀρχόμενος τῆς διηγήσεως D
Μούσας τε καὶ Μνήμην ἐπικαλεῖσθαι.
ἤρξατο δ' οὖν ἐνθένδε ποθὲν ὁ Εὐθύδημος, ὡς
ἐγῷμαι· Ὦ Κλεινία, πότεροί εἰσι τῶν ἀνθρώ-
πων οἱ μανθάνοντες, οἱ σοφοὶ ἢ οἱ
ἀμαθεῖς; καὶ τὸ μειράκιον, ἅτε
μεγάλου ὄντος τοῦ ἐρωτήματος, ἠρυ-
θρίασέν τε καὶ ἀπορήσας ἔβλεπεν εἰς ἐμέ.
καὶ ἐγὼ γνοὺς αὐτὸν τεθορυβημένον, Θάρρει,
ἦν δ' ἐγώ, ὦ Κλεινία, καὶ ἀπόκριναι | ἀνδρείως, E
ὁπότερά σοι φαίνεται· ἴσως γάρ τοι ὠφελεῖ
τὴν μεγίστην ὠφελίαν. καὶ ἐν τούτῳ ὁ Διονυ-
σόδωρος προσκύψας μοι μικρὸν πρὸς τὸ οὖς,
πάνυ μειδιάσας τῷ προσώπῳ, Καὶ μήν, ἔφη,
σοί, ὦ Σώκρατες, προλέγω, ὅτι ὁπότερ' ἂν
ἀποκρίνηται τὸ μειράκιον, ἐξελεγχθήσεται. καὶ
αὐτοῦ μεταξὺ ταῦτα λέγοντος ὁ Κλεινίας ἔτυχεν
ἀποκρινάμενος, ὥστε οὐδὲ παρακελεύσασθαί
μοι ἐξεγένετο εὐλαβηθῆναι τῷ μειρακίῳ, |
ἀλλ' ἀπεκρίνατο ὅτι οἱ σοφοὶ εἶεν οἱ μανθά- 276
νοντες. καὶ ὁ Εὐθύδημος, Καλεῖς δέ τινας,
ἔφη, διδασκάλους, ἢ οὔ; Ὡμολόγει. Οὐκοῦν
τῶν μανθανόντων οἱ διδάσκαλοι διδάσκαλοί
εἰσιν ὥσπερ ὁ κιθαριστὴς καὶ ὁ γραμματιστὴς
διδάσκαλοι δήπου ἦσαν σοῦ καὶ τῶν ἄλλων
παίδων, ὑμεῖς δὲ μαθηταί; Συνέφη. Ἄλλο
τι οὖν, ἡνίκα ἐμανθάνετε, οὔπω ἠπίστασθε

First fallacy, by Euthydemus;

276 ταῦτα, ἃ ἐμανθάνετε; Οὐκ ἔφη. Ἆρ᾽ οὖν
B σοφοὶ ἦτε, ὅτε | ταῦτα οὐκ ἠπίστασθε; Οὐ
δῆτα, ἦ δ᾽ ὅς. Οὐκοῦν εἰ μὴ σοφοί, ἀμαθεῖς;
Πάνυ γε. Ὑμεῖς ἄρα μανθάνοντες ἃ οὐκ
ἠπίστασθε, ἀμαθεῖς ὄντες ἐμανθάνετε. Ἐπένευσε
τὸ μειράκιον. Οἱ ἀμαθεῖς ἄρα σοφοὶ μανθάνουσιν, ὦ Κλεινία, ἀλλ᾽ οὐχ οἱ σοφοί, ὡς σὺ
οἴει. ταῦτ᾽ οὖν εἰπόντος αὐτοῦ, ὥσπερ ὑπὸ
διδασκάλου χορὸς ἀποσημήναντος, ἅμα ἀνεθορύβησάν τε καὶ ἐγέλασαν οἱ ἑπόμενοι ἐκεῖνοι
μετὰ τοῦ Διονυσοδώρου τε καὶ Εὐθυδήμου. |
C καὶ πρὶν ἀναπνεῦσαι καλῶς τε καὶ εὖ τὸ μειράκιον, ἐκδεξάμενος ὁ Διονυσόδωρος, Τί δέ, ὦ Κλεινία,

is "caught up" by Dionysodorus.

ἔφη, ὁπότε ἀποστοματίζοι ὑμῖν ὁ γραμματιστής,
πότεροι ἐμάνθανον τῶν παίδων τὰ ἀποστοματιζόμενα, οἱ σοφοὶ ἢ οἱ ἀμαθεῖς; Οἱ σοφοί,
ἔφη ὁ Κλεινίας. Οἱ σοφοὶ ἄρα μανθάνουσιν,
ἀλλ᾽ οὐχ οἱ ἀμαθεῖς, καὶ οὐκ εὖ ἄρτι Εὐθυδήμῳ ἀπεκρίνω.

D Ἐνταῦθα δὴ καὶ πάνυ ἐγέλασάν | τε καὶ
ἐθορύβησαν οἱ ἐρασταὶ τοῖν ἀνδροῖν, ἀγασθέντες
τῆς σοφίας αὐτοῖν· οἱ δ᾽ ἄλλοι ἡμεῖς ἐκπεπληγμένοι ἐσιωπῶμεν. γνοὺς δὲ ἡμᾶς ὁ Εὐθύδημος
ἐκπεπληγμένους, ἵν᾽ ἔτι μᾶλλον θαυμάζοιμεν
αὐτόν, οὐκ ἀνίει τὸ μειράκιον, ἀλλ᾽ ἠρώτα
ὥσπερ οἱ ἀγαθοὶ ὀρχησταί, διπλᾶ ἔστρεφε τὰ
ἐρωτήματα περὶ τοῦ αὐτοῦ, καὶ ἔφη· Πότεροι
γὰρ οἱ μανθάνοντες μανθάνουσιν ἃ ἐπίστανται
ἢ ἃ μὴ ἐπίστανται; καὶ ὁ Διονυσόδωρος πάλιν μικρὸν πρός μ

Second fallacy, by Euthydemus;

ψιθυρίσας, | Καὶ τοῦτ', ἔφη, ὦ Σώκρατες, ἕτερον 276 E
τοιοῦτον, οἷον τὸ πρότερον. Ὦ Ζεῦ, ἔφην
ἐγώ, ἦ μὴν καὶ τὸ πρότερόν γε καλὸν ἡμῖν
ἐφάνη τὸ ἐρώτημα. Πάντ', ἔφη, ὦ Σώκρατες,
τοιαῦτα ἡμεῖς ἐρωτῶμεν ἄφυκτα. Τοιγάρτοι,
ἦν δ' ἐγώ, δοκεῖτέ μοι εὐδοκιμεῖν παρὰ τοῖς
μαθηταῖς. ἐν δὲ τούτῳ ὁ μὲν Κλεινίας τῷ
Εὐθυδήμῳ ἀπεκρίνατο ὅτι μανθάνοιεν οἱ μανθά-
νοντες ἃ οὐκ ἐπίσταιντο· ὁ δὲ ἤρετο αὐτὸν
διὰ τῶν αὐτῶν ὧνπερ τὸ πρότερον· | Τί δέ; 277
ἦ δ' ὅς, οὐκ ἐπίστασαι σὺ γράμματα; Ναί,
ἔφη. Οὐκοῦν ἅπαντα; Ὡμολόγει. Ὅταν οὖν
τις ἀποστοματίζῃ ὁτιοῦν, οὐ γράμματα ἀποστο-
ματίζει; Ὡμολόγει. Οὐκοῦν ὧν τι σὺ ἐπί-
στασαι, ἔφη, ἀποστοματίζει, εἴπερ πάντα ἐπί-
στασαι; Καὶ τοῦτο ὡμολόγει. Τί οὖν; ἦ δ' ὅς,
ἆρα οὐ μανθάνεις ἅττ' ἂν ἀποστοματίζῃ τις,
ὁ δὲ μὴ ἐπιστάμενος γράμματα μανθάνει; Οὔκ,
ἀλλ', ἦ δ' ὅς, μανθάνω. Οὐκοῦν ἃ ἐπίστασαι,
ἔφη, μανθάνεις, εἴπερ γε ἅπαντα τὰ | γράμματα B
ἐπίστασαι. Ὡμολόγησεν. Οὐκ ἄρ' ὀρθῶς
ἀπεκρίνω, ἔφη. καί οὔπω σφόδρα τι ταῦτα
εἴρητο τῷ Εὐθυδήμῳ, καὶ ὁ Διονυ-
σόδωρος ὥσπερ σφαῖραν ἐκδεξάμενος
τὸν λόγον πάλιν ἐστοχάζετο τοῦ
μειρακίου, καὶ εἶπεν· Ἐξαπατᾷ σε Εὐθύδημος,
ὦ Κλεινία. εἰπὲ γάρ μοι, τὸ μανθάνειν οὐκ
ἐπιστήμην ἐστὶ λαμβάνειν τούτου, οὗ ἄν τις
μανθάνῃ; Ὡμολόγει ὁ Κλεινίας. Τὸ δ' ἐπί-
στασθαι, ἦ δ' ὅς, ἄλλο τι ἢ ἔχειν ἐπιστήμην ἤδη
ἐστίν; Συνέφη. Τὸ ἄρα μὴ ἐπίστασθαι | μήπω C

again caught by the brother.

277 ἔχειν ἐπιστήμην ἐστίν; Ὡμολόγει αὐτῷ. Πότερον οὖν εἰσιν οἱ λαμβάνοντες ὁτιοῦν οἱ ἔχοντες ἤδη ἢ οἳ ἂν μή; Οἳ ἂν μὴ ἔχωσιν. Οὐκοῦν ὡμολόγηκας εἶναι τούτων καὶ τοὺς μὴ ἐπισταμένους, τῶν μὴ ἐχόντων; Κατένευσε. Τῶν λαμβανόντων ἄρ' εἰσὶν οἱ μανθάνοντες, ἀλλ' οὐ τῶν ἐχόντων; Συνέφη. Οἱ μὴ ἐπιστάμενοι ἄρα, ἔφη, μανθάνουσιν, ὦ Κλεινία, ἀλλ' οὐχ οἱ ἐπιστάμενοι. * * *

283 Ἐγὼ μὲν οὖν ταῦτα εἶπον, ὦ Κρίτων· τῷ δὲ μετὰ τοῦτο ἐσομένῳ πάνυ σφόδρα προσεῖχον τὸν νοῦν, καὶ ἐπεσκόπουν, τίνα ποτὲ τρόπον ἅψοιντο τοῦ λόγου καὶ ὁπόθεν ἄρξοιντο παρακελευόμενοι τῷ νεανίσκῳ σοφίαν τε καὶ ἀρετὴν ἀσκεῖν. ὁ οὖν πρεσβύτερος αὐτῶν, ὁ Διονυσόδωρος, πρότερος ἤρχετο τοῦ λόγου, καὶ ἡμεῖς πάντες ἐβλέπομεν πρὸς αὐτὸν ὡς αὐτίκα μάλα ἀκουσόμενοι θαυμασίους τινὰς λόγους. ὅπερ οὖν καὶ συνέβη ἡμῖν· θαυμαστὸν
B γάρ τινα, | ὦ Κρίτων, ἀνὴρ κατῆρχεν λόγον, οὗ σοι ἄξιον ἀκοῦσαι, ὡς παρακελευστικὸς ὁ λόγος ἦν ἐπ' ἀρετήν.

Dionysodorus takes the lead.

Εἰπέ μοι, ἔφη, ὦ Σώκρατές τε καὶ ὑμεῖς οἱ ἄλλοι, ὅσοι φατὲ ἐπιθυμεῖν τόνδε τὸν νεανίσκον σοφὸν γενέσθαι, πότερον παίζετε ταῦτα λέγοντες ἢ ὡς ἀληθῶς ἐπιθυμεῖτε καὶ σπουδάζετε; κἀγὼ διενοήθην ὅτι ᾠηθήτην ἄρα ἡμᾶς τὸ πρότερον παίζειν, ἡνίκα ἐκελεύομεν διαλεχθῆναι τῷ νεανίσκῳ αὐτώ, καὶ διὰ ταῦτα προσεπαισάτην τε καὶ
C οὐκ | ἐσπουδασάτην· ταῦτα οὖν διανοηθεὶς ἔτι

Third fallacy.

μᾶλλον εἶπον ὅτι θαυμαστῶς σπουδάζοιμεν. 283
καὶ ὁ Διονυσόδωρος, Σκόπει μήν, ἔφη, ὦ
Σώκρατες, ὅπως μὴ ἔξαρνος ἔσει ἃ νῦν λέγεις.
Ἔσκεμμαι, ἦν δ' ἐγώ· οὐ γὰρ μή ποτ' ἔξαρνος
γένωμαι. Τί οὖν; ἔφη· φατὲ βούλεσθαι αὐτὸν
σοφὸν γενέσθαι; Πάνυ μὲν οὖν. Νῦν δέ, ἦ
δ' ὅς, Κλεινίας πότερον σοφός ἐστιν ἢ οὔ;
Οὔκουν φησί γέ πω· ἔστιν δὲ οὐκ ἀλαζών.
Ὑμεῖς δέ, ἔφη, βούλεσθε γενέσθαι αὐτὸν | σοφόν, D
ἀμαθῆ δὲ μὴ εἶναι; Ὡμολογοῦμεν. Οὐκοῦν
ὃς μὲν οὐκ ἔστιν, βούλεσθε αὐτὸν γενέσθαι,
ὃς δ' ἔστι νῦν, μηκέτι εἶναι. καὶ ἐγὼ ἀκούσας
ἐθορυβήθην· ὁ δ' ἐμοῦ θορυβουμένου ὑπολαβών,
Ἄλλο τι οὖν, ἔφη, ἐπεὶ βούλεσθε αὐτόν, ὃς
νῦν ἐστιν, μηκέτι εἶναι, βούλεσθε αὐτόν, ὡς
ἔοικεν, ἀπολωλέναι; καίτοι πολλοῦ ἂν ἄξιοι
οἱ τοιοῦτοι εἶεν φίλοι τε καὶ ἐρασταί, οἵτινες
τὰ παιδικὰ περὶ παντὸς ἂν ποιήσαιντο ἐξολω-
λέναι.

Καὶ ὁ Κτήσιππος ἀκούσας ἠγανάκτησέν |
τε ὑπὲρ τῶν παιδικῶν καὶ εἶπεν· E
Ὦ ξένε Θούριε, εἰ μὴ ἀγροικότερον,
ἔφη, ἦν εἰπεῖν, εἶπον ἄν, Σοὶ εἰς κεφαλήν, ὅ
τι μαθὼν ἐμοῦ καὶ τῶν ἄλλων καταψεύδει
τοιοῦτον πρᾶγμα, ὃ ἐγὼ οἶμαι οὐδ' ὅσιον εἶναι
λέγειν, ὡς ἐγὼ τόνδε βουλοίμην ἂν ἐξολωλέναι.

Ktesippus angered.

Τί δέ, ἔφη, ὦ Κτήσιππε, ὁ Εὐθύ-
δημος, ἦ δοκεῖ σοι οἷόν τ' εἶναι ψεύ-
δεσθαι; Νὴ Δία, ἔφη, εἰ μὴ μαίνομαί γε.
Πότερον λέγοντα τὸ πρᾶγμα, περὶ οὗ ἂν ὁ
λόγος ᾖ, ἢ μὴ λέγοντα; Λέγοντα, | ἔφη. 284

Fourth fallacy.

284 Οὐκοῦν εἴπερ λέγει αὐτό, οὐκ ἄλλο λέγει
[τῶν ὄντων] ἢ ἐκεῖνο ὅπερ λέγει; Πῶς γὰρ
ἄν; ἔφη ὁ Κτήσιππος. Ἓν μὴν κἀκεῖνό γ'
ἐστὶν τῶν ὄντων, ὃ λέγει, χωρὶς τῶν ἄλλων.
Πάνυ γε. Οὐκοῦν ὁ ἐκεῖνο λέγων τὸ ὄν, ἔφη,
λέγει; Ναί. Ἀλλὰ μὴν ὅ γε τὸ ὂν λέγων
καὶ τὰ ὄντα τἀληθῆ λέγει· ὥστε ὁ Διονυσό-
δωρος, εἴπερ λέγει τὰ ὄντα, λέγει τἀληθῆ καὶ
οὐδὲν κατὰ σοῦ ψεύδεται. Ναί, ἔφη· ἀλλ'
B ὁ ταῦτα λέγων, ἔφη ὁ Κτήσιππος, | ὦ Εὐθύδημε,
οὐ τὰ ὄντα λέγει. καὶ ὁ Εὐθύδημος, Τὰ δὲ
μὴ ὄντα, ἔφη, ἄλλο τι ἢ οὐκ ἔστιν;

* * * * *

Ninth fallacy, by Euthydemus.

293 Πότερον δή σε, ἔφη, ὦ Σώκρατες, | ταύτην
B τὴν ἐπιστήμην, περὶ ἣν πάλαι ἀπο-
ρεῖτε, διδάξω, ἢ ἐπιδείξω ἔχοντα; Ὦ
μακάριε, ἦν δ' ἐγώ, ἔστι δὲ ἐπὶ σοὶ
τοῦτο; Πάνυ μὲν οὖν, ἔφη. Ἐπίδειξον τοίνυν
νὴ Δί', ἔφην ἐγώ, ἔχοντα· πολὺ γὰρ ῥᾷον ἢ μαν-
θάνειν τηλικόνδε ἄνδρα. Φέρε δή μοι ἀπόκριναι,
ἔφη· ἔστιν ὅ τι ἐπίστασαι; Πάνυ γε, ἦν δ' ἐγώ,
καὶ πολλά, σμικρά γε. Ἀρκεῖ, ἔφη. ἆρ' οὖν
δοκεῖς οἷόντέ τι τῶν ὄντων τοῦτο, ὃ τυγχάνει
ὄν, αὐτὸ τοῦτο μὴ εἶναι; Ἀλλὰ μὰ Δί' οὐκ |
C ἔγωγε. Οὐκοῦν σύ, ἔφη, ἐπίστασαί τι; Ἔγωγε.
Οὐκοῦν ἐπιστήμων εἶ, εἴπερ ἐπίστασαι; Πάνυ
γε, τούτου γε αὐτοῦ. Οὐδὲν διαφέρει. ἀλλ'
οὐκ ἀνάγκη σε ἔχει πάντα ἐπίστασθαι ἐπιστή-
μονά γε ὄντα; Μὰ Δί', ἔφην ἐγώ· ἐπεὶ πολλὰ
ἄλλ' οὐκ ἐπίσταμαι. Οὐκοῦν εἴ τι μὴ ἐπίστα-
σαι, οὐκ ἐπιστήμων εἶ. Ἐκείνου γε, ὦ φίλε,

ἦν δ' ἐγώ. Ἧττον οὖν τι, ἔφη, οὐκ ἐπιστήμων 293
εἶ; ἄρτι δὲ ἐπιστήμων ἔφησθα εἶναι· καὶ
οὕτως τυγχάνεις ὢν αὐτὸς οὗτος, ὃς εἶ, | καὶ D
αὖ πάλιν οὐκ εἶ, κατὰ ταὐτὰ ἅμα. Εἶεν, ἦν
δ' ἐγώ, Εὐθύδημε· τὸ γὰρ λεγόμενον, καλὰ δὴ
παταγεῖς. πῶς οὖν ἐπίσταμαι ἐκείνην τὴν ἐπι-
στήμην, ἣν ἐζητοῦμεν; ὡς δὴ τοῦτο ἀδύνατόν
ἐστιν, τὸ αὐτὸ εἶναί τε καὶ μή, εἴπερ ἓν
ἐπίσταμαι, ἅπαντα ἐπίσταμαι· οὐ γὰρ ἂν εἴην
ἐπιστήμων τε καὶ ἀνεπιστήμων ἅμα· ἐπεὶ δὲ
πάντα ἐπίσταμαι, κἀκείνην δὴ τὴν ἐπιστήμην
ἔχω· ἆρα οὕτως λέγεις, καὶ τοῦτό ἐστιν | τὸ E
σοφόν; Αὐτὸς σαυτόν γε δὴ ἐξελέγχεις, ἔφη,
ὦ Σώκρατες. Τί δέ, ἦν δ' ἐγώ, ὦ Εὐθύδημε,
σὺ οὐ πέπονθας τοῦτο τὸ αὐτὸ πάθος; ἐγὼ
γάρ τοι μετὰ σοῦ ὁτιοῦν ἂν πάσχων καὶ μετὰ
Διονυσοδώρου τοῦδε, φίλης κεφαλῆς, οὐκ ἂν
πάνυ ἀγανακτοίην. εἰπέ μοι, σφὼ οὐχὶ τὰ
μὲν ἐπίστασθον τῶν ὄντων, τὰ δὲ οὐκ ἐπί-
στασθον; Ἥκιστά γε, ἔφη, ὦ Σώκρατες, ὁ
Διονυσόδωρος. Πῶς λέγετον; ἔφην ἐγώ· ἀλλ'
οὐδὲν ἄρα ἐπίστασθον; Καὶ μάλα, ἦ δ' ὅς.
Πάντ' ἄρα, | ἔφην ἐγώ, ἐπίστασθον, ἐπειδήπερ 294
καὶ ὁτιοῦν; Πάντ', ἔφη· καὶ σύ γε πρός,
εἴπερ καὶ ἓν ἐπίστασαι, πάντα ἐπίστασαι.
Ὦ Ζεῦ, ἔφην ἐγώ, ὡς θαυμαστὸν λέγεις καὶ
ἀγαθὸν μέγα πεφάνθαι. μῶν καὶ οἱ ἄλλοι
πάντες ἄνθρωποι πάντ' ἐπίστανται, ἢ οὐδέν;
Οὐ γὰρ δήπου, ἔφη, τὰ μὲν ἐπίστανται, τὰ δ'
οὐκ ἐπίστανται, καί εἰσιν ἅμα ἐπιστήμονές
τε καὶ ἀνεπιστήμονες. Ἀλλὰ τί; ἦν δ' ἐγώ.

294 Πάντες, ἦ δ᾽ ὅς, πάντα ἐπίστανται, εἴπερ καὶ ἕν.
B Ὦ πρὸς τῶν θεῶν, ἦν | δ᾽ ἐγώ, ὦ Διονυσόδωρε
(δῆλοι γάρ μοί ἐστον ἤδη ὅτι σπουδάζετον, καὶ
μόλις ὑμᾶς προὐκαλεσάμην σπουδάζειν), αὐτὼ
τῷ ὄντι πάντα ἐπίστασθον—οἷον τεκτονικὴν καὶ
σκυτικήν; Πάνυ γ᾽, ἔφη. Ἦ καὶ νευρορραφεῖν
δυνατώ ἐστον; Καὶ ναὶ μὰ Δία καττύειν, ἔφη.
Ἦ καὶ τὰ τοιαῦτα, τοὺς ἀστέρας, ὁπόσοι εἰσί,
καὶ τὴν ἄμμον; Πάνυ γε, ἦ δ᾽ ὅς· εἶτ᾽ οὐκ
ἂν οἴει ὁμολογῆσαι ἡμᾶς;

Καὶ ὁ Κτήσιππος ὑπολαβών· Πρὸς Διός,
C ἔφη, Διονυσόδωρε, τεκμήριόν τί | μοι
τούτων ἐπιδείξατον τοιόνδε, ᾧ εἴσομαι
ὅτι ἀληθῆ λέγεις. Τί ἐπιδείξω;
ἔφη. Οἶσθα Εὐθύδημον, ὁπόσους ὀδόντας ἔχει,
καὶ ὁ Εὐθύδημος, ὁπόσους σύ; Οὐκ ἐξαρκεῖ
σοι, ἔφη, ἀκοῦσαι ὅτι πάντα ἐπιστάμεθα;
Μηδαμῶς, ἦ δ᾽ ὅς, ἀλλὰ τοῦτο ἔτι ἡμῖν μόνον
εἴπατον καὶ ἐπιδείξατον ὅτι ἀληθῆ λέγετον.
καὶ ἐὰν εἴπητον, ὁπόσους ἑκάτερος ἔχει ὑμῶν,
καὶ φαίνησθε γνόντες ἡμῶν ἀριθμησάντων, ἤδη
πεισόμεθα ὑμῖν καὶ τἆλλα. ἡγουμένω οὖν
D σκώπτεσθαι οὐκ | ἠθελέτην, ἀλλ᾽ ὡμολογησάτην
πάντα χρήματα ἐπίστασθαι, καθ᾽ ἓν ἕκαστον
ἐρωτώμενοι ὑπὸ Κτησίππου. ὁ γὰρ Κτήσιππος
πάνυ ἀπαρακαλύπτως οὐδὲν ὅ τι οὐκ ἠρώτα
τελευτῶν, καὶ τὰ αἴσχιστα, εἰ ἐπισταίσθην·
τὼ δὲ ἀνδρειότατα ὁμόσε ᾔτην τοῖς ἐρωτήμασιν,
ὁμολογοῦντες εἰδέναι, ὥσπερ οἱ κάπροι οἱ πρὸς
τὴν πληγὴν ὁμόσε ὠθούμενοι, ὥστ᾽ ἔγωγε καὶ
αὐτός, ὦ Κρίτων, ὑπ᾽ ἀπιστίας ἠναγκάσθην

Ktesippus proposes a test, which is refused.

τελευτῶν ἐρέσθαι τὸν Εὐθύδημον, εἰ καὶ ὀρχεῖ- 294
σθαι | ἐπίσταιτο ὁ Διονυσόδωρος. ὁ δέ, Πάνυ E
γ', ἔφη. Οὐ δήπου, ἦν δ' ἐγώ, καὶ ἐς μαχαίρας
γε κυβιστᾶν καὶ ἐπὶ τροχοῦ δινεῖσθαι τηλικοῦ-
τος ὤν; οὕτω πόρρω σοφίας ἥκει; Οὐδέν,
ἔφη, ὅ τι οὔ. Πότερον δέ, ἦν δ' ἐγώ, πάντα
νῦν μόνον ἐπίστασθον ἢ καὶ ἀεί; Καὶ ἀεί,
ἔφη. Καὶ ὅτε παιδία ἤστην καὶ
εὐθὺς γενόμενοι ἠπίστασθε πάντα;

Tenth contention.

ἐφάτην ἅμα ἀμφοτέρω. καὶ ἡμῖν μὲν | ἄπιστον 295
ἐδόκει τὸ πρᾶγμα εἶναι· ὁ δ' Εὐθύδημος, Ἀπι-
στεῖς, ἔφη, ὦ Σώκρατες; Πλήν γ' ὅτι, ἦν δ'
ἐγώ, εἰκὸς ὑμᾶς ἐστι σοφοὺς εἶναι. Ἀλλ' ἤν,
ἔφη, ἐθελήσῃς μοι ἀποκρίνεσθαι, ἐγὼ ἐπιδείξω
καὶ σὲ ταῦτα τὰ θαυμαστὰ ὁμολογοῦντα.
Ἀλλὰ μήν, ἦν δ' ἐγώ, ἥδιστα ταῦτα ἐξελέγχο-
μαι. εἰ γάρ τοι λέληθα ἐμαυτὸν σοφὸς ὤν,
σὺ δὲ τοῦτο ἐπιδείξεις, ὡς πάντα ἐπίσταμαι
καὶ ἀεί, τί μεῖζον ἕρμαιον αὐτοῦ ἂν εὕροιμι ἐν
παντὶ τῷ βίῳ; * * * *

Φεύγεις, ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος, 297
καὶ οὐκ ἐθέλεις ἀποκρίνεσθαι. Εἰκότως γ',
εἶπον ἐγώ· ἥττων γάρ εἰμι καὶ τοῦ ἑτέρου
ὑμῶν, ὥστε | πολλοῦ δέω μὴ οὐ δύο γε φεύγειν. C
πολὺ γάρ πού εἰμι φαυλότερος τοῦ Ἡρακλέους,
ὃς οὐχ οἷόστε ἦν τῇ τε ὕδρᾳ διαμά-
χεσθαι—σοφιστρίᾳ οὔσῃ καὶ διὰ τὴν

Hydra-headed sophistry.

σοφίαν ἀνιείσῃ (εἰ μίαν κεφαλὴν ἀποτμηθείη
τοῦ λόγου) πολλὰς ἀντὶ τῆς μιᾶς—καὶ καρκίνῳ
τινὶ ἑτέρῳ σοφιστῇ, ἐκ θαλάττης ἀφιγμένῳ,
νεωστί μοι δοκεῖν καταπεπλευκότι· ὃς ἐπειδὴ

297 αὐτὸν ἐλύπει οὕτως ἐκ τοῦ ἐπ' ἀριστερὰ λέγων
καὶ δάκνων, τὸν Ἰόλεων τὸν ἀδελφιδοῦν βοηθὸν
D ἐπεκαλέσατο, ὁ δὲ αὐτῷ ἱκανῶς | ἐβοήθησεν. ὁ
δ' ἐμὸς Ἰόλεως εἰ ἔλθοι, πλέον ἂν θάτερον
ποιήσειεν.

Eleventh fallacy.

Ἀπόκριναι δή, ἔφη ὁ Διονυσόδωρος (ὁπότε
σοι ταῦτα ὕμνηται), πότερον ὁ Ἰόλεως
τοῦ Ἡρακλέους μᾶλλον ἦν ἀδελφιδοῦς
ἢ σός; Κράτιστον τοίνυν μοι, ὦ Διονυσόδωρε,
ἦν δ' ἐγώ, ἀποκρίνασθαί σοι. οὐ γὰρ μὴ
ἀνῇς ἐρωτῶν (σχεδόν τι ἐγὼ τοῦτ' εὖ οἶδα),
φθονῶν καὶ διακωλύων, ἵνα μὴ διδάξῃ με
Εὐθύδημος ἐκεῖνο τὸ σοφόν. Ἀποκρίνου δή,
ἔφη. Ἀποκρίνομαι δή, εἶπον, ὅτι τοῦ Ἡρα-
κλέους ἦν ὁ Ἰόλεως ἀδελφιδοῦς, ἐμὸς δ', ὡς
E ἐμοὶ δοκεῖ, οὐδ' ὁπωστιοῦν. | οὐ γὰρ Πατροκλῆς
ἦν αὐτῷ πατήρ, ὁ ἐμὸς ἀδελφός, ἀλλὰ παρα-
πλήσιος μὲν τοὔνομα Ἰφικλῆς, ὁ Ἡρακλέους
ἀδελφός. Πατροκλῆς δέ, ἦ δ' ὅς, σός; Πάνυ
γ', ἔφην ἐγώ, ὁμομήτριός γε, οὐ μέντοι ὁμοπά-
τριος. Ἀδελφὸς ἄρα ἐστί σοι καὶ οὐκ ἀδελφός.
Οὐχ ὁμοπάτριός γε, ὦ βέλτιστε, ἔφην· ἐκείνου
μὲν γὰρ Χαιρέδημος ἦν πατήρ, ἐμὸς δὲ Σω-
φρονίσκος. Πατὴρ δὲ ἦν, ἔφη, Σωφρονίσκος
καὶ Χαιρέδημος; Πάνυ γ', ἔφην· ὁ μέν γε
298 ἐμός, ὁ δὲ ἐκείνου. Οὐκοῦν, | ἦ δ' ὅς, ἕτερος
ἦν Χαιρέδημος τοῦ πατρός; Τοὐμοῦ γ', ἔφην
ἐγώ. Ἆρ' οὖν πατὴρ ἦν ἕτερος ὢν πατρός;
ἢ σὺ εἶ ὁ αὐτὸς τῷ λίθῳ; Δέδοικα μὲν ἔγωγ',
ἔφην, μὴ φανῶ ὑπὸ σοῦ ὁ αὐτός· οὐ μέντοι
μοι δοκῶ. Οὐκοῦν ἕτερος εἶ, ἔφη, τοῦ λίθου;

Ἕτερος μέντοι. Ἄλλο τι οὖν ἕτερος, ἦ δ' ὅς, 298 ὢν λίθου οὐ λίθος εἶ; καὶ ἕτερος ὢν χρυσοῦ οὐ χρυσὸς εἶ; Ἔστι ταῦτα. Οὐκοῦν καὶ ὁ Χαιρέδημος, ἔφη, ἕτερος ὢν πατρὸς οὐκ ἂν πατὴρ εἴη. Ἔοικεν, ἦν δ' ἐγώ, οὐ πατὴρ | εἶναι. Εἰ γὰρ δήπου, ἔφη, πατήρ ἐστιν ὁ B Χαιρέδημος, ὑπολαβὼν ὁ Εὐθύδημος, πάλιν αὖ ὁ Σωφρονίσκος ἕτερος ὢν πατρὸς οὐ πατήρ ἐστιν, ὥστε σύ, ὦ Σώκρατες, ἀπάτωρ εἶ. καὶ ὁ Κτήσιππος ἐκδεξάμενος, Ὁ δὲ ὑμέτερος, ἔφη, αὖ πατὴρ οὐ ταὐτὰ ταῦτα πέπονθεν; ἕτερός ἐστιν τοὐμοῦ πατρός; Πολλοῦ γ', ἔφη, δεῖ, ὁ Εὐθύδημος. Ἀλλά, ἦ δ' ὅς, ὁ αὐτός; Ὁ αὐτὸς μέντοι. Οὐκ ἂν συμβουλοίμην. ἀλλὰ πότερον, ὦ Εὐθύδημε, ἐμὸς μόνον | ἐστὶ πατὴρ ἢ καὶ τῶν ἄλλων ἀνθρώ- C πων; Καὶ τῶν ἄλλων, ἔφη· ἢ οἴει τὸν αὐτὸν πατέρα ὄντα οὐ πατέρα εἶναι; Ὤιμην δῆτα, ἔφη ὁ Κτήσιππος. Τί δέ; ἦ δ' ὅς· χρυσὸν ὄντα μὴ χρυσὸν εἶναι; ἢ ἄνθρωπον ὄντα μὴ ἄνθρωπον; Μὴ γάρ, ἔφη ὁ Κτήσιππος, ὦ Εὐθύδημε· τὸ λεγόμενον, οὐ λίνον λίνῳ συνάπτεις· δεινὸν γὰρ λέγεις πρᾶγμα, εἰ ὁ σὸς πατὴρ πάντων ἐστὶν πατήρ. Ἀλλ' ἔστιν, ἔφη. Πότερον ἀνθρώπων; ἦ δ' ὃς ὁ Κτήσιππος, ἢ καὶ ἵππων; ἢ καὶ τῶν ἄλλων | πάντων ζῴων; Πάντων, ἔφη. Ἦ καὶ D μήτηρ ἡ μήτηρ; Καὶ ἡ μήτηρ γε. Καὶ τῶν ἐχίνων ἄρα, ἔφη, ἡ σὴ μήτηρ μήτηρ ἐστὶν τῶν θαλαττίων. Καὶ ἡ σή γ', ἔφη. Καὶ σὺ ἄρα ἀδελφὸς εἶ τῶν βοιδίων καὶ κυναρίων καὶ χοιριδίων. Καὶ

Twelfth fallacy.

Thirteenth fallacy.

298 γὰρ σύ, ἔφη. Καὶ πρὸς ἄρα σοι πατήρ ἐστι καὶ κύων. Καὶ γὰρ σοί, ἔφη. Αὐτίκα δέ γε, ἦ δ' ὃς ὁ Διονυσόδωρος, ἄν μοι ἀποκρίνῃ, ὦ Κτήσιππε, ὁμολογήσεις ταῦτα. εἰπὲ γάρ μοι, ἔστι σοι κύων; Καὶ μάλα πονηρός, ἔφη ὁ
E Κτήσιππος. Ἔστιν οὖν | αὐτῷ κυνίδια; Καὶ μάλ', ἔφη, ἕτερα τοιαῦτα. Οὐκοῦν πατήρ ἐστιν αὐτῶν ὁ κύων; Ναί. Τί οὖν; οὐ σός ἐστιν ὁ κύων; Πάνυ γ', ἔφη. Οὐκοῦν πατὴρ ὢν σός ἐστιν, ὥστε σὸς πατὴρ γίγνεται ὁ κύων καὶ σὺ κυναρίων ἀδελφός; καὶ αὖθις ταχὺ ὑπολαβὼν ὁ Διονυσόδωρος, ἵνα μὴ πρότερόν τι εἴποι ὁ Κτήσιππος, Καὶ ἔτι γέ μοι μικρόν, ἔφη, ἀπόκριναι· τύπτεις τὸν κύνα τοῦτον; καὶ ὁ Κτήσιππος γελάσας, Νὴ τοὺς θεούς, ἔφη· οὐ γὰρ δύναμαι σέ. Οὐκοῦν τὸν σαυτοῦ
299 πατέρα, ἔφη, τύπτεις; | Πολὺ μέντοι, ἔφη, δικαιότερον <ἂν> τὸν ὑμέτερον πατέρα τύπτοιμι, ὅ τι μαθὼν σοφοὺς υἱεῖς οὕτως ἔφυσεν.

THEAETETUS

Philosopher vs. Rhetorician.

THEODORUS. SOCRATES.

172 ΘΕΟ. Οὐκοῦν σχολὴν ἄγομεν, ὦ Σώκρατες;

C ΣΩ. Φαινόμεθα. καὶ πολλάκις μέν γε δή, ὦ δαιμόνιε, καὶ ἄλλοτε κατενόησα, ἀτὰρ καὶ νῦν, ὡς εἰκότως οἱ ἐν ταῖς φιλοσοφίαις πολὺν χρόνον διατρίψαντες εἰς τὰ δικαστήρια ἰόντες γελοῖοι φαίνονται ῥήτορες.

Slave *vs* freeman; haste and "business" *vs.* leisure.

ΘΕΟ. Πῶς δὴ οὖν λέγεις; 172

ΣΩ. Κινδυνεύουσιν οἱ ἐν δικαστηρίοις καὶ
τοῖς τοιούτοις ἐκ νέων κυλινδούμενοι πρὸς τοὺς
ἐν φιλοσοφίᾳ καὶ τῇ τοιᾷδε διατριβῇ | τεθραμ- D
μένους ὡς οἰκέται πρὸς ἐλευθέρους τεθράφθαι.

ΘΕΟ. Πῇ δή;

ΣΩ. Ἧι τοῖς μὲν τοῦτο, ὃ σὺ εἶπες, ἀεὶ
πάρεστι, σχολή, καὶ τοὺς λόγους ἐν εἰρήνῃ
ἐπὶ σχολῆς ποιοῦνται· ὥσπερ ἡμεῖς νυνὶ τρίτον
ἤδη λόγον ἐκ λόγου μεταλαμβάνομεν, οὕτω
κἀκεῖνοι, ἐὰν αὐτοὺς ὁ ἐπελθὼν τοῦ προκει-
μένου μᾶλλον καθάπερ ἡμᾶς ἀρέσῃ· καὶ διὰ
μακρῶν ἢ βραχέων μέλει οὐδὲν λέγειν, ἂν
μόνον τύχωσι τοῦ ὄντος· οἱ δὲ ἐν ἀσχολίᾳ τε
ἀεὶ λέγουσι (κατεπείγει γὰρ ὕδωρ ῥέον) καὶ
οὐκ | ἐγχωρεῖ περὶ οὗ ἂν ἐπιθυμήσωσιν τοὺς E
λόγους ποιεῖσθαι, ἀλλ' ἀνάγκην ἔχων ὁ ἀντίδικος
ἐφέστηκεν καὶ ὑπογραφὴν παραναγιγνωσκομένην,
ὧν ἐκτὸς οὐ ῥητέον, ἣν ἀντωμοσίαν καλοῦσιν·
οἱ δὲ λόγοι ἀεὶ περὶ ὁμοδούλου πρὸς δεσπότην
καθήμενον, ἐν χειρί τινα δίκην ἔχοντα, καὶ οἱ
ἀγῶνες οὐδέποτε τὴν ἄλλως ἀλλ' ἀεὶ τὴν περὶ
αὑτοῦ· πολλάκις δὲ καὶ περὶ ψυχῆς ὁ δρόμος·
ὥστ' ἐξ | ἁπάντων τούτων ἔντονοι 173
καὶ δριμεῖς γίγνονται, ἐπιστάμενοι
τὸν δεσπότην λόγῳ τε θωπεῦσαι καὶ
ἔργῳ χαρίσασθαι, σμικροὶ δὲ καὶ οὐκ ὀρθοὶ τὰς
ψυχάς. τὴν γὰρ αὔξην καὶ τὸ εὐθύ τε καὶ τὸ
ἐλεύθερον ἡ ἐκ νέων δουλεία ἀφῄρηται, ἀναγκά-
ζουσα πράττειν σκολιά, μεγάλους κινδύνους καὶ
φόβους ἔτι ἁπαλαῖς ψυχαῖς ἐπιβάλλουσα, οὓς

The clever pettifogger and his little soul.

173 οὐ δυνάμενοι μετὰ τοῦ δικαίου καὶ ἀληθοῦς ὑποφέρειν, εὐθὺς ἐπὶ τὸ ψεῦδός τε καὶ τὸ ἀλλήλους ἀνταδικεῖν τρεπόμενοι πολλὰ κάμπτονται B καὶ | συγκλῶνται, ὥσθ᾽ ὑγιὲς οὐδὲν ἔχοντες τῆς διανοίας εἰς ἄνδρας ἐκ μειρακίων τελευτῶσι, δεινοί τε καὶ σοφοὶ γεγονότες, ὡς οἴονται. καὶ οὗτοι μὲν δὴ τοιοῦτοι, ὦ Θεόδωρε· τοὺς δὲ τοῦ ἡμετέρου χοροῦ πότερον βούλει διελθόντες ἢ ἐάσαντες πάλιν ἐπὶ τὸν λόγον τρεπώμεθα, ἵνα μὴ καί, ὃ νῦν δὴ ἐλέγομεν, λίαν πολὺ τῇ ἐλευθερίᾳ καὶ μεταλήψει τῶν λόγων καταχρώμεθα;

ΘΕΟ. Μηδαμῶς, ὦ Σώκρατες, ἀλλὰ διελ-C θόντες. πάνυ γὰρ εὖ τοῦτο εἴρηκας, ὅτι | οὐχ ἡμεῖς οἱ ἐν τῷ τοιῷδε χορεύοντες τῶν λόγων ὑπηρέται, ἀλλ᾽ οἱ λόγοι ἡμέτεροι ὥσπερ οἰκέται, καὶ ἕκαστος αὐτῶν περιμένει ἀποτελεσθῆναι ὅταν ἡμῖν δοκῇ· οὔτε γὰρ δικαστὴς οὔτε θεατὴς ὥσπερ ποιηταῖς ἐπιτιμήσων τε καὶ ἄρξων ἐπιστατεῖ παρ᾽ ἡμῖν.

ΣΩ. Λέγωμεν δή, ὡς ἔοικεν, ἐπεὶ σοί γε δοκεῖ, περὶ τῶν κορυφαίων· (τί γὰρ ἄν τις τούς γε φαύλως διατρίβοντας ἐν φιλοσοφίᾳ λέγοι;) οὗτοι δέ που ἐκ νέων πρῶτον μὲν εἰς ἀγορὰν οὐκ ἴσασι τὴν ὁδόν, οὐδὲ | D ὅπου δικαστήριον ἢ βουλευτήριον ἢ τι κοινὸν ἄλλο τῆς πόλεως συνέδριον· νόμους δὲ καὶ ψηφίσματα λεγόμενα ἢ γεγραμμένα οὔτε ὁρῶσιν οὔτε ἀκούουσι· σπουδαὶ δὲ ἑταιρειῶν ἐπ᾽ ἀρχὰς καὶ σύνοδοι καὶ δεῖπνα καὶ σὺν αὐλητρίσι κῶμοι,—οὐδὲ ὄναρ πράττειν

The aloofness of the philosopher.

προσίσταται αὐτοῖς. εἰ δὲ εὖ ἢ κακῶς τις 173
γέγονεν ἐν πόλει, ἤ τί τῳ κακόν ἐστιν ἐκ προγόνων γεγονὸς ἢ πρὸς ἀνδρῶν ἢ γυναικῶν, μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες. καὶ ταῦτα πάντ' | οὐδ' ὅτι E
οὐκ οἶδεν οἶδεν· οὐδὲ γὰρ αὐτῶν ἀπέχεται τοῦ εὐδοκιμεῖν χάριν, ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ, ἡ δὲ διάνοια, ταῦτα πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδέν, ἀτιμάσασα πανταχῇ φέρεται κατὰ Πίνδαρον, τά τε γᾶς ὑπένερθε καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα, καὶ πᾶσαν πάντῃ φύσιν | ἐρευνωμένη τῶν ὄντων 174
ἑκάστου ὅλου, εἰς τῶν ἐγγὺς οὐδὲν αὑτὴν συγκαθιεῖσα.

ΘΕΟ. Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες;

The abstracted Thales.

ΣΩ. Ὥσπερ καὶ Θαλῆν ἀστρονομοῦντα, ὦ Θεόδωρε, καὶ ἄνω βλέποντα, πεσόντα εἰς φρέαρ, Θρᾷττά τις ἐμμελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀποσκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν οὐρανῷ προθυμοῖτο εἰδέναι, τὰ δ' ἔμπροσθεν αὐτοῦ καὶ παρὰ πόδας λανθάνοι αὐτόν. ταὐτὸν δὲ ἀρκεῖ σκῶμμα ἐπὶ πάντας ὅσοι ἐν φιλοσοφίᾳ | διάγουσι. τῷ γὰρ ὄντι B
τὸν τοιοῦτον ὁ μὲν πλησίον καὶ ὁ γείτων λέληθεν, οὐ μόνον ὅ τι πράττει, ἀλλ' ὀλίγου καὶ εἰ ἄνθρωπός ἐστιν ἤ τι ἄλλο θρέμμα· τί δέ ποτ' ἐστὶν ἄνθρωπος καὶ τί τῇ τοιαύτῃ φύσει προσήκει διάφορον τῶν ἄλλων ποιεῖν ἢ πάσχειν, ζητεῖ τε καὶ πράγματ' ἔχει διερευνώμενος. μανθάνεις γάρ που, ὦ Θεόδωρε,—ἢ οὔ;

174 ΘΕΟ. Ἔγωγε· καὶ ἀληθῆ λέγεις.

ΣΩ. Τοιγάρτοι, ὦ φίλε, ἰδίᾳ τε συγγιγνόμενος ὁ τοιοῦτος ἑκάστῳ καὶ δημοσίᾳ, ὅπερ ἀρχόμενος | ἔλεγον, ὅταν ἐν δικαστηρίῳ ἤ που ἄλλοθι ἀναγκασθῇ περὶ τῶν παρὰ πόδας καὶ τῶν ἐν ὀφθαλμοῖς διαλέγεσθαι, γέλωτα παρέχει οὐ μόνον Θρᾴτταις ἀλλὰ καὶ τῷ ἄλλῳ ὄχλῳ, εἰς φρέατά τε καὶ πᾶσαν ἀπορίαν ἐμπίπτων ὑπὸ ἀπειρίας, καὶ ἡ ἀσχημοσύνη δεινή, δόξαν ἀβελτερίας παρεχομένη. ἔν τε γὰρ ταῖς λοιδορίαις ἴδιον ἔχει οὐδὲν οὐδένα λοιδορεῖν, ἅτ' οὐκ εἰδὼς κακὸν οὐδὲν οὐδενὸς ἐκ τοῦ μὴ μεμελετηκέναι (ἀπορῶν οὖν

C The philosopher an idiot in court,

D γελοῖος φαίνεται), ἔν | τε τοῖς ἐπαίνοις καὶ ταῖς τῶν ἄλλων μεγαλαυχίαις, οὐ προσποιήτως, ἀλλὰ τῷ ὄντι γελῶν ἔνδηλος γιγνόμενος ληρώδης δοκεῖ εἶναι. τύραννόν τε γὰρ ἢ βασιλέα ἐγκωμιαζόμενον ἕνα τῶν νομέων (οἷον συβώτην ἢ ποιμένα ἤ τινα βουκόλον) ἡγεῖται ἀκούειν εὐδαιμονιζόμενον πολὺ βδάλλοντα· δυσκολώτερον δὲ ἐκείνων ζῷον καὶ ἐπιβουλότερον ποιμαίνειν τε καὶ βδάλλειν νομίζει αὐτούς, ἄγροικον δὲ καὶ ἀπαίδευτον ὑπὸ ἀσχολίας οὐδὲν ἧττον τῶν

E νομέων τὸν | τοιοῦτον ἀναγκαῖον γίγνεσθαι, σηκὸν ἐν ὄρει τὸ τεῖχος περιβεβλημένον. γῆς δὲ ὅταν μύρια πλέθρα ἢ ἔτι πλείω ἀκούσῃ ὥς τις ἄρα κεκτημένος θαυμαστὰ πλήθει κέκτηται, πάνσμικρα δοκεῖ ἀκούειν εἰς ἅπασαν εἰωθὼς τὴν γῆν βλέπειν. τὰ δὲ δὴ γένη ὑμνούντων, ὡς γενναῖός τις ἑπτὰ πάππους πλουσίους ἔχων ἀποφῆναι, παντάπασιν ἀμβλὺ καὶ ἐπὶ σμικρὸν

ὁρώντων ἡγεῖται τὸν ἔπαινον, ὑπὸ | ἀπαιδευσίας 175
οὐ δυναμένων εἰς τὸ πᾶν ἀεὶ βλέπειν οὐδὲ
λογίζεσθαι ὅτι πάππων καὶ προγόνων μυριάδες
ἑκάστῳ γεγόνασιν ἀναρίθμητοι, ἐν αἷς πλούσιοι
καὶ πτωχοὶ καὶ βασιλῆς καὶ δοῦλοι βάρβαροί
τε καὶ Ἕλληνες πολλάκις μύριοι γεγόνασιν
ὁτῳοῦν· ἀλλ' ἐπὶ πέντε καὶ εἴκοσι καταλόγῳ
προγόνων σεμνυνομένων καὶ ἀναφερόντων εἰς
Ἡρακλέα τὸν Ἀμφιτρύωνος ἄτοπα αὐτῷ κατα-
φαίνεται τῆς σμικρολογίας, ὅτι δὲ ὁ ἀπ'
Ἀμφιτρύωνος εἰς τὸ | ἄνω πεντεκαιεικοστὸς B
τοιοῦτος ἦν, οἵα συνέβαινεν αὐτῷ τύχη, καὶ ὁ
πεντηκοστὸς ἀπ' αὐτοῦ, γελᾷ οὐ δυναμένων
λογίζεσθαί τε καὶ χαυνότητα ἀνοήτου ψυχῆς
ἀπαλλάττειν. ἐν ἅπασι δὴ τούτοις ὁ τοιοῦτος
ὑπὸ τῶν πολλῶν καταγελᾶται, τὰ μὲν ὑπερη-
φάνως ἔχων, ὡς δοκεῖ, τὰ δ' ἐν ποσὶν ἀγνοῶν
τε καὶ ἐν ἑκάστοις ἀπορῶν.

ΘΕΟ. Παντάπασι τὰ γιγνόμενα λέγεις, ὦ
Σώκρατες.

The pettifogger an idiot in philosophy.

ΣΩ. Ὅταν δέ γέ τινα αὐτός, ὦ φίλε,
ἑλκύσῃ ἄνω, καὶ ἐθελήσῃ τις αὐτῷ |
ἐκβῆναι ἐκ τοῦ Τί ἐγὼ σὲ ἀδικῶ ἢ C
σὺ ἐμέ; εἰς σκέψιν αὐτῆς δικαιο-
σύνης τε καὶ ἀδικίας, τί τε ἑκάτερον αὐτοῖν
καὶ τί τῶν πάντων ἢ ἀλλήλων διαφέρετον, ἢ
ἐκ τοῦ Εἰ βασιλεὺς εὐδαίμων κεκτημένος τ' αὖ
πολὺ χρυσίον, βασιλείας πέρι καὶ ἀνθρωπίνης
ὅλως εὐδαιμονίας καὶ ἀθλιότητος ἐπὶ σκέψιν,
ποίω τέ τινε ἐστὸν καὶ τίνα τρόπον ἀνθρώπου
φύσει προσήκει τὸ μὲν κτήσασθαι αὐτοῖν, τὸ

175 δὲ ἀποφυγεῖν — περὶ τούτων ἁπάντων ὅταν
D αὖ δέῃ λόγον διδόναι τὸν | σμικρὸν ἐκεῖνον τὴν
ψυχὴν καὶ δριμὺν καὶ δικανικόν, πάλιν αὖ τὰ
ἀντίστροφα ἀποδίδωσιν· εἰλιγγιῶν τε ἀπὸ
ὑψηλοῦ κρεμασθεὶς καὶ βλέπων μετέωρος ἄνωθεν
ὑπὸ ἀηθείας, ἀδημονῶν τε καὶ ἀπορῶν καὶ
βαρβαρίζων, γέλωτα Θρᾴτταις μὲν οὐ παρέχει
οὐδ' ἄλλῳ ἀπαιδεύτῳ οὐδενί (οὐ γὰρ αἰσθά-
νονται), τοῖς δ' ἐναντίως ἢ ὡς ἀνδραπόδοις
τραφεῖσιν ἅπασιν. οὗτος δὴ ἑκατέρου τρόπος,
ὦ Θεόδωρε, ὁ μὲν τῷ ὄντι ἐν ἐλευθερίᾳ τε καὶ
E σχολῇ τεθραμμένου, | ὃν δὴ φιλόσοφον καλεῖς,
ᾧ ἀνεμέσητον εὐήθει δοκεῖν καὶ οὐδενὶ εἶναι,
ὅταν εἰς δουλικὰ ἐμπέσῃ διακονήματα, οἷον
στρωματόδεσμον μὴ ἐπισταμένου συσκευάσασθαι
μηδὲ ὄψον ἡδῦναι ἢ θῶπας λόγους· ὁ δ' αὖ
τὰ μὲν τοιαῦτα πάντα δυναμένου τορῶς τε καὶ
ὀξέως διακονεῖν, ἀναβάλλεσθαι δὲ οὐκ ἐπιστα-
μένου ἐπιδέξια ἐλευθέρως οὐδέ γ' ἁρμονίαν
176 λόγων λαβόντος | ὀρθῶς ὑμνῆσαι θεῶν τε καὶ
ἀνδρῶν εὐδαιμόνων βίον ἀληθῆ.

ΘΕΟ. Εἰ πάντας, ὦ Σώκρατες, πείθοις ἃ
λέγεις ὥσπερ ἐμέ, πλείων ἂν εἰρήνη καὶ κακὰ
ἐλάττω κατ' ἀνθρώπους εἴη.

ΣΩ. Ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατόν,
ὦ Θεόδωρε (ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ
εἶναι ἀνάγκη), οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρῦσθαι, τὴν
δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ
ἐξ ἀνάγκης. διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε
B ἐκεῖσε φεύγειν ὅτι τάχιστα. φυγὴ | δὲ ὁμοίω-
σις θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον

176 καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. ἀλλὰ γάρ, ὦ ἄριστε, οὐ πάνυ ῥᾴδιον πεῖσαι ὡς ἄρα οὐχ ὧν ἕνεκα οἱ πολλοί φασι δεῖν πονηρίαν μὲν φεύγειν, ἀρετὴν δὲ διώκειν, τούτων χάριν τὸ μὲν ἐπιτηδευτέον, τὸ δ' οὔ, ἵνα μὴ κακὸς καὶ ἵνα ἀγαθὸς δοκῇ εἶναι—ταῦτα γάρ ἐστιν ὁ λεγόμενος γραῶν ὕθλος, ὡς ἐμοὶ φαίνεται· τὸ δὲ ἀληθὲς ὧδε λέγωμεν. | C θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόντε δικαιότατος, καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν ἢ ὃς ἂν ἡμῶν αὖ γένηται ὅτι δικαιότατος. περὶ τούτου καὶ ἡ ὡς ἀληθῶς δεινότης ἀνδρὸς καὶ οὐδενία τε καὶ ἀνανδρία. ἡ μὲν γὰρ τούτου γνῶσις σοφία καὶ ἀρετὴ ἀληθινή, ἡ δὲ ἄγνοια ἀμαθία καὶ κακία ἐναργής· αἱ δ' ἄλλαι δεινότητές τε δοκοῦσαι καὶ σοφίαι ἐν μὲν πολιτικαῖς δυναστείαις γιγνόμεναι φορτικαί, ἐν δὲ τέχναις βάναυσοι. τῷ οὖν ἀδικοῦντι καὶ ἀνόσια λέγοντι ἢ | D πράττοντι μακρῷ ἄριστ' ἔχει τὸ μὴ συγχωρεῖν δεινῷ ὑπὸ πανουργίας εἶναι· ἀγάλλονται γὰρ τῷ ὀνείδει καὶ οἴονται ἀκούειν ὅτι οὐ λῆροί εἰσι, γῆς ἄλλως ἄχθη, ἀλλ' ἄνδρες οἵους δεῖ ἐν πόλει τοὺς σωθησομένους. λεκτέον οὖν τἀληθές, ὅτι τοσούτῳ μᾶλλόν εἰσιν οἷοι οὐκ οἴονται, ὅτι οὐχὶ οἴονται· ἀγνοοῦσι γὰρ ζημίαν ἀδικίας, ὃ δεῖ ἥκιστα ἀγνοεῖν. οὐ γάρ ἐστιν ἣν δοκοῦσι, πληγαί τε καὶ θάνατοι, ὧν ἐνίοτε πάσχουσιν οὐδὲν ἀδικοῦντες, ἀλλὰ ἣν ἀδύνατον | E ἐκφυγεῖν.

Likeness to God the escape from human nothingness;

ΘΕΟ. Τίνα δὴ λέγεις;

ΣΩ. Παραδειγμάτων, ὦ φίλε, ἐν τῷ ὄντι

Likeness to evil the punishment of evil.

176 ἑστώτων, τοῦ μὲν θείου εὐδαιμονεστάτου, τοῦ δὲ ἀθέου ἀθλιωτάτου, οὐχ ὁρῶντες ὅτι οὕτως ἔχει, ὑπὸ ἠλιθιότητός τε καὶ τῆς ἐσχάτης ἀνοίας λανθά-
177 νουσι τῷ μὲν ὁμοιούμενοι διὰ τὰς | ἀδίκους πράξεις, τῷ δὲ ἀνομοιούμενοι. οὗ δὴ τίνουσι δίκην ζῶντες τὸν εἰκότα βίον ᾧ ὁμοιοῦνται· ἐὰν δ' εἴπωμεν ὅτι, ἂν μὴ ἀπαλλαγῶσι τῆς δεινότητος, καὶ τελευτήσαντας αὐτοὺς ἐκεῖνος μὲν ὁ τῶν κακῶν καθαρὸς τόπος οὐ δέξεται, ἐνθάδε δὲ τὴν αὑτοῖς ὁμοιότητα τῆς διαγωγῆς ἀεὶ ἕξουσι, κακοὶ κακοῖς συνόντες, ταῦτα δὴ καὶ παντάπασιν ὡς δεινοὶ καὶ πανοῦργοι ἀνοήτων τινῶν ἀκούσονται.

ΘΕΟ. Καὶ μάλα δή, ὦ Σώκρατες.

B ΣΩ. Οἶδά τοι, | ὦ ἑταῖρε· ἓν μέντοι τι αὐτοῖς συμβέβηκεν, ὅτι, ἂν ἰδίᾳ λόγον δέῃ δοῦναί τε καὶ δέξασθαι περὶ ὧν ψέγουσι, καὶ ἐθελήσωσιν ἀνδρικῶς πολὺν χρόνον ὑπομεῖναι καὶ μὴ ἀνάνδρως φεύγειν, τότε ἀτόπως, ὦ δαιμόνιε, τελευτῶντες οὐκ ἀρέσκουσιν αὐτοὶ αὑτοῖς περὶ ὧν λέγουσι, καὶ ἡ ῥητορικὴ ἐκείνη πως ἀπομαραίνεται, ὥστε παίδων μηδὲν δοκεῖν διαφέρειν. περὶ μὲν οὖν τούτων, ἐπειδὴ καὶ πάρεργα τυγχάνει λεγόμενα, ἀποστῶμεν· εἰ δὲ
C μή, πλείω ἀεὶ | ἐπιρρέοντα καταχώσει ἡμῶν τὸν ἐξ ἀρχῆς λόγον· ἐπὶ δὲ τὰ ἔμπροσθεν ἴωμεν, εἰ καὶ σοὶ δοκεῖ.

ΘΕΟ. Ἐμοὶ μὲν τὰ τοιαῦτα, ὦ Σώκρατες, οὐκ ἀηδέστερα ἀκούειν· ῥᾴω γὰρ τηλικῷδε ὄντι ἐπακολουθεῖν· εἰ μέντοι δοκεῖ, πάλιν ἐπανίωμεν.

MENON

Learning is Reminiscence. A Lesson in Geometry.

Socrates. Menon. Boy.

ΣΩ. Ἀπόκριναι τοίνυν πάλιν ἐξ ἀρχῆς· τί 79
φῇς ἀρετὴν εἶναι· καὶ σὺ καὶ ὁ ἑταῖρός σου; E

MEN. Ὦ Σώκρατες, ἤκουον μὲν ἔγωγε, πρὶν καὶ συγγενέσθαι σοι, ὅτι σὺ οὐδὲν ἄλλο ἢ αὐτός | τε ἀπορεῖς καὶ 80
τοὺς ἄλλους ποιεῖς ἀπορεῖν· καὶ νῦν, ὥς γέ μοι δοκεῖς, γοητεύεις με καὶ φαρμάττεις καὶ ἀτεχνῶς κατεπᾴδεις, ὥστε μεστὸν ἀπορίας γεγονέναι. καὶ δοκεῖς μοι παντελῶς, εἰ δεῖ τι καὶ σκῶψαι, ὁμοιότατος εἶναι τό τε εἶδος καὶ τἆλλα ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ. καὶ γὰρ αὕτη τὸν ἀεὶ πλησιάζοντα καὶ ἁπτόμενον ναρκᾶν ποιεῖ· καὶ σὺ δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τι πεποιηκέναι,—ναρκᾶν. ἀληθῶς γὰρ ἔγωγε καὶ τὴν ψυχὴν καὶ τὸ | στόμα B
ναρκῶ, καὶ οὐκ ἔχω ὅ τι ἀποκρίνωμαί σοι. καίτοι μυριάκις γε περὶ ἀρετῆς παμπόλλους λόγους εἴρηκα καὶ πρὸς πολλούς, καὶ πάνυ εὖ, ὥς γε ἐμαυτῷ ἐδόκουν· νῦν δὲ οὐδ᾽ ὅ τι ἐστὶν τὸ παράπαν ἔχω εἰπεῖν. καί μοι δοκεῖς εὖ βουλεύεσθαι οὐκ ἐκπλέων ἐνθένδε οὐδ᾽ ἀποδημῶν· εἰ γὰρ ξένος ἐν ἄλλῃ πόλει τοιαῦτα ποιοῖς, τάχ᾽ ἂν ὡς γόης ἀπαχθείης.

Socrates numbs his adversary like the torpedo,—

80 ΣΩ. Πανοῦργος εἶ, ὦ Μένων, καὶ ὀλίγου ἐξηπάτησάς με.

ΜΕΝ. Τί μάλιστα, ὦ Σώκρατες;

C ΣΩ. Γιγνώσκω | οὗ ἕνεκά με ᾔκασας.

ΜΕΝ. Τίνος δὴ οἴει;

ΣΩ. Ἵνα σε ἀντεικάσω. ἐγὼ δὲ τοῦτο οἶδα περὶ πάντων τῶν καλῶν, ὅτι χαίρουσιν εἰκαζόμενοι. λυσιτελεῖ γὰρ αὐτοῖς· καλαὶ γάρ, οἶμαι, τῶν καλῶν καὶ αἱ εἰκόνες. ἀλλ' οὐκ ἀντεικάσομαί σε. ἐγὼ δέ, εἰ μὲν ἡ νάρκη αὐτὴ

but not, he says, from his greater knowledge.

ναρκῶσα οὕτω καὶ τοὺς ἄλλους ποιεῖ ναρκᾶν, ἔοικα αὐτῇ· εἰ δὲ μή, οὔ. οὐ γὰρ εὐπορῶν αὐτὸς τοὺς ἄλλους ποιῶ ἀπορεῖν, ἀλλὰ παντὸς μᾶλλον αὐτὸς ἀπορῶν οὕτως καὶ τοὺς ἄλλους ποιῶ ἀπορεῖν.

D καὶ | νῦν περὶ ἀρετῆς, ὃ ἔστιν, ἐγὼ μὲν οὐκ οἶδα, σὺ μέντοι ἴσως πρότερον μὲν ᾔδησθα πρὶν ἐμοῦ ἅψασθαι, νῦν μέντοι ὅμοιος εἶ οὐκ εἰδότι. ὅμως δὲ ἐθέλω μετὰ σοῦ σκέψασθαι καὶ συζητῆσαι ὅ τι ποτέ ἐστιν.

ΜΕΝ. Καὶ τίνα τρόπον ζητήσεις, ὦ Σώκρατες, τοῦτο, ὃ μὴ οἶσθα τὸ παράπαν ὅ τι ἐστίν; ποῖον γὰρ ὧν οὐκ οἶσθα προθέμενος ζητήσεις; ἢ εἰ καὶ ὅτι μάλιστα ἐντύχοις αὐτῷ, πῶς εἴσει ὅτι τοῦτό ἐστιν, ὃ σὺ οὐκ ᾔδησθα;

ΣΩ. Μανθάνω οἷον βούλει λέγειν, ὦ Μένων

E Yet he does not believe that knowledge is unattainable.

| ὁρᾷς, τοῦτον ὡς ἐριστικὸν λόγον κατάγεις, ὡς οὐκ ἄρα ἔστιν ζητεῖν ἀνθρώπῳ οὔτε ὃ οἶδεν οὔτε ὃ μὴ οἶδεν; οὔτε γὰρ ἄν γε ὃ οἶδε ζητο (οἶδε γάρ, καὶ οὐδὲν δεῖ τῷ γε τοιούτῳ ζητή

σεως), οὔτε ὃ μὴ οἶδεν· οὐδὲ γὰρ οἶδεν ὅ τι ζητήσει.

MEN. | Οὐκοῦν καλῶς σοι δοκεῖ λέγεσθαι 81
ὁ λόγος οὗτος, ὦ Σώκρατες;

ΣΩ. Οὐκ ἔμοιγε.

MEN. Ἔχεις λέγειν ὅπῃ;

ΣΩ. Ἔγωγε· ἀκήκοα γὰρ ἀνδρῶν τε καὶ γυναικῶν σοφῶν περὶ τὰ θεῖα πράγματα—

MEN. Τίνα λόγον λεγόντων;

ΣΩ. Ἀληθῆ, ἔμοιγε δοκεῖν, καὶ καλόν.

MEN. Τίνα τοῦτον, καὶ τίνες οἱ λέγοντες;

ΣΩ. Οἱ μὲν λέγοντές εἰσι τῶν ἱερέων τε καὶ τῶν ἱερειῶν ὅσοις μεμέληκε, περὶ ὧν μεταχειρίζονται, λόγον οἵοις τ' εἶναι διδόναι· λέγει δὲ καὶ Πίνδαρος | καὶ ἄλλοι πολλοὶ τῶν B
ποιητῶν, ὅσοι θεῖοί εἰσιν. ἃ δὲ λέγουσι, ταυτί ἐστιν· ἀλλὰ σκόπει εἴ σοι δοκοῦσιν ἀληθῆ λέγειν. φασὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον, καὶ τοτὲ μὲν τελευτᾶν (ὃ δὴ ἀποθνῄσκειν καλοῦσι), τοτὲ δὲ πάλιν γίγνεσθαι, ἀπόλλυσθαι δ' οὐδέποτε· δεῖν δὴ διὰ ταῦτα ὡς ὁσιώτατα διαβιῶναι τὸν βίον·

For man's soul is immortal,

οἷσι γὰρ ἂν Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος
δέξεται, εἰς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει
ἀνδιδοῖ ψυχὰν πάλιν,
ἐκ τᾶν βασιλῆες | ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ C
τε μέγιστοι
ἄνδρες αὔξοντ'· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ
πρὸς ἀνθρώπων καλεῦνται.

Ἅτε οὖν ἡ ψυχὴ ἀθάνατός τε οὖσα καὶ

81 has learned all things,

πολλάκις γεγονυῖα, καὶ ἑωρακυῖα καὶ τὰ ἐνθάδε καὶ τὰ ἐν Ἅιδου καὶ πάντα χρήματα, οὐκ ἔστιν ὅ τι οὐ μεμάθηκεν· ὥστε οὐδὲν θαυμαστὸν καὶ περὶ ἀρετῆς καὶ περὶ ἄλλων οἷόντε εἶναι αὐτὴν ἀναμνησθῆναι, ἅ γε καὶ πρότερον ἠπίστατο. ἅτε γὰρ τῆς
D φύσεως ἁπάσης συγγενοῦς | οὔσης, καὶ μεμαθηκυίας τῆς ψυχῆς ἅπαντα, οὐδὲν κωλύει ἓν μόνον ἀναμνησθέντα (ὃ δὴ μάθησιν καλοῦσιν

and can recall them.

ἄνθρωποι) τἆλλα πάντα αὐτὸν ἀνευρεῖν, ἐάν τις ἀνδρεῖος ᾖ καὶ μὴ ἀποκάμνῃ ζητῶν· τὸ γὰρ ζητεῖν ἄρα καὶ τὸ μανθάνειν ἀνάμνησις ὅλον ἐστίν. οὔκουν δεῖ πείθεσθαι τούτῳ τῷ ἐριστικῷ λόγῳ· οὗτος μὲν γὰρ ἂν ἡμᾶς ἀργοὺς ποιήσειεν καὶ ἔστιν τοῖς μαλακοῖς τῶν ἀνθρώπων ἡδὺς ἀκοῦσαι, ὅδε δὲ
E ἐργαστικούς | τε καὶ ζητητικοὺς ποιεῖ. ᾧ ἐγὼ πιστεύων ἀληθεῖ εἶναι ἐθέλω μετὰ σοῦ ζητεῖν ἀρετὴ ὅ τι ἐστίν.

MEN. Ναί, ὦ Σώκρατες· ἀλλὰ πῶς λέγεις τοῦτο, ὅτι οὐ μανθάνομεν, ἀλλὰ ἣν καλοῦμεν μάθησιν ἀνάμνησίς ἐστιν; ἔχεις με τοῦτο διδάξαι ὡς οὕτως ἔχει;

ΣΩ. Καὶ ἄρτι εἶπον, ὦ Μένων, ὅτι πανοῦργος εἶ· καὶ νῦν ἐρωτᾷς εἰ ἔχω σε διδάξαι, ὃς οὔ
82 φημι διδαχὴν | εἶναι ἀλλ' ἀνάμνησιν, ἵνα δὴ εὐθὺς φαίνωμαι αὐτὸς ἐμαυτῷ τἀναντία λέγων.

MEN. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐ πρὸς τοῦτο βλέψας εἶπον, ἀλλ' ὑπὸ τοῦ ἔθους· ἀλλ' εἴ πώς μοι ἔχεις ἐνδείξασθαι ὅτι ἔχει ὥσπερ λέγεις, ἔνδειξαι.

ΣΩ. Ἀλλ' ἔστι μὲν οὐ ῥᾴδιον, ὅμως δὲ 82
ἐθέλω προθυμηθῆναι σοῦ ἕνεκα. ἀλλά μοι
προσκάλεσον τῶν πολλῶν ἀκολούθων τουτωνὶ
τῶν σαυτοῦ ἕνα, ὅντινα βούλει, | ἵνα ἐν τούτῳ B
σοι ἐπιδείξωμαι.

Illustration given in the case of a slave,—subject, geometry.

MEN. Πάνυ γε. δεῦρο πρόσελθε.

ΣΩ. Ἕλλην μέν ἐστι καὶ ἑλληνίζει;

MEN. Πάνυ γε σφόδρα, οἰκογενής.

ΣΩ. Πρόσεχε δὴ τὸν νοῦν, ὁπότερ' ἄν σοι φαίνηται, ἢ ἀναμιμνῃσκόμενος ἢ μανθάνων παρ' ἐμοῦ.

MEN. Ἀλλὰ προσέξω.

ΣΩ. Εἰπὲ δή μοι, ὦ παῖ, γιγνώσκεις τετράγωνον χωρίον ὅτι τοιοῦτόν ἐστιν;

ΠΑΙ. Ἔγωγε.

ΣΩ. Ἔστιν οὖν τετράγωνον χωρίον ἴσας |
ἔχον τὰς γραμμὰς ταύτας πάσας, τέτταρας C
οὔσας;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Οὐ καὶ ταυτασὶ τὰς διὰ μέσου ἐστὶν ἴσας ἔχον;

ΠΑΙ. Ναί.

ΣΩ. Οὐκοῦν εἴη ἂν τοιοῦτον χωρίον καὶ μεῖζον καὶ ἔλαττον;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Εἰ οὖν εἴη αὕτη ἡ πλευρὰ δυοῖν ποδοῖν καὶ αὕτη δυοῖν, πόσων ἂν εἴη ποδῶν τὸ ὅλον; ὧδε δὲ σκόπει· εἰ ἦν ταύτῃ δυοῖν ποδοῖν, ταύτῃ δὲ ἑνὸς ποδὸς μόνον, ἄλλο τι ἅπαξ ἂν ἦν δυοῖν ποδοῖν τὸ χωρίον;

82 ΠΑΙ. Ναί.

D ΣΩ. Ἐπειδὴ | δὲ δυοῖν ποδοῖν καὶ ταύτῃ, ἄλλο τι ἢ δὶς δυοῖν γίγνεται;

ΠΑΙ. Γίγνεται.

ΣΩ. Δυοῖν ἄρα δὶς γίγνεται ποδῶν;

ΠΑΙ. Ναί.

ΣΩ. Πόσοι οὖν εἰσιν οἱ δύο δὶς πόδες; λογισάμενος εἰπέ.

ΠΑΙ. Τέτταρες, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν γένοιτ᾽ ἂν τούτου τοῦ χωρίου ἕτερον διπλάσιον, τοιοῦτον δέ, ἴσας ἔχον πάσας τὰς γραμμὰς ὥσπερ τοῦτο;

ΠΑΙ. Ναί.

ΣΩ. Πόσων οὖν ἔσται ποδῶν;

ΠΑΙ. Ὀκτώ.

ΣΩ. Φέρε δή, πειρῶ μοι εἰπεῖν πηλίκη τις

E ἔσται ἐκείνου | ἡ γραμμὴ ἑκάστη; ἡ μὲν γὰρ τοῦδε δυοῖν ποδοῖν· τί δὲ ἡ ἐκείνου τοῦ διπλασίου;

ΠΑΙ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι διπλασία.

He is questioned merely, not instructed.

ΣΩ. Ὁρᾷς, ὦ Μένων, ὡς ἐγὼ τοῦτον οὐδὲν διδάσκω, ἀλλ᾽ ἐρωτῶ πάντα; καὶ νῦν οὗτος οἴεται εἰδέναι, ὁποία ἐστὶν ἀφ᾽ ἧς τὸ ὀκτώπουν χωρίον γενήσεται· ἢ οὐ δοκεῖ σοι;

ΜΕΝ. Ἔμοιγε.

ΣΩ. Οἶδεν οὖν;

ΜΕΝ. Οὐ δῆτα.

ΣΩ. Οἴεται δέ γε ἀπὸ τῆς διπλασίας;

ΜΕΝ. Ναί.

ΣΩ. Θεῶ δὴ αὐτὸν ἀναμιμνῃσκόμενον ἐφεξῆς, ὡς δεῖ ἀναμιμνῄσκεσθαι. σὺ δέ μοι λέγε· ἀπὸ

τῆς διπλασίας γραμμῆς φῂς τὸ διπλάσιον | χωρίον γίγνεσθαι; τοιόνδε λέγω, μὴ ταύτῃ 83 μὲν μακρόν, τῇ δὲ βραχύ, ἀλλὰ ἴσον πανταχῇ ἔστω ὥσπερ τουτί, διπλάσιον δὲ τούτου, ὀκτώπουν· ἀλλ' ὅρα, εἰ ἔτι σοι ἀπὸ τῆς διπλασίας δοκεῖ ἔσεσθαι.

ΠΑΙ. Ἔμοιγε.

ΣΩ. Οὐκοῦν διπλασία αὕτη ταύτης γίγνεται, ἂν ἑτέραν τοσαύτην προσθῶμεν ἐνθένδε;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Ἀπὸ ταύτης δή, φῄς, ἔσται τὸ ὀκτώπουν χωρίον, ἂν τέτταρες τοσαῦται γένωνται;

ΠΑΙ. Ναί.

ΣΩ. Ἀναγραψώμεθα | δὴ ἀπ' αὐτῆς ἴσας B τέτταρας. ἄλλο τι ἢ τουτὶ ἂν εἴη ὃ φῂς τὸ ὀκτώπουν εἶναι;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ἐν αὐτῷ ἐστιν ταυτὶ τέτταρα, ὧν ἕκαστον ἴσον τούτῳ ἐστὶν τῷ τετράποδι;

ΠΑΙ. Ναί.

ΣΩ. Πόσον οὖν γίγνεται; οὐ τετράκις τοσοῦτον;

ΠΑΙ. Πῶς δ' οὔ;

ΣΩ. Διπλάσιον οὖν ἐστιν τὸ τετράκις τοσοῦτον;

ΠΑΙ. Οὐ μὰ Δία.

ΣΩ. Ἀλλὰ ποσαπλάσιον;

ΠΑΙ. Τετραπλάσιον.

ΣΩ. Ἀπὸ τῆς διπλασίας ἄρα, ὦ παῖ, | οὐ C διπλάσιον ἀλλὰ τετραπλάσιον γίγνεται χωρίον.

ΠΑΙ. Ἀληθῆ λέγεις.

83 ΣΩ. Τεττάρων γὰρ τετράκις ἐστὶν ἑκκαίδεκα. οὐχί;

ΠΑΙ. Ναί.

ΣΩ. Ὀκτώπουν δ' ἀπὸ ποίας γραμμῆς; οὐχὶ ἀπὸ μὲν ταύτης τετραπλάσιον;

ΠΑΙ. Φημί.

ΣΩ. Τετράπουν δὲ ἀπὸ τῆς ἡμισέας—ταυτησὶ τουτί;

ΠΑΙ. Ναί.

ΣΩ. Εἶεν· τὸ δὲ ὀκτώπουν οὐ τοῦδε μὲν διπλάσιόν ἐστιν, τούτου δὲ ἥμισυ;

ΠΑΙ. Πάνυ γε.

D ΣΩ. Οὐκ ἀπὸ μὲν μείζονος ἔσται | ἢ τοσαύτης γραμμῆς, ἀπὸ ἐλάττονος δὲ ἢ τοσησδί; ἢ οὔ;

ΠΑΙ. Ἔμοιγε δοκεῖ οὕτω.

ΣΩ. Καλῶς· τὸ γάρ σοι δοκοῦν τοῦτο ἀποκρίνου. καί μοι λέγε· οὐχ ἥδε μὲν δυοῖν ποδοῖν ἦν, ἡ δὲ τεττάρων;

ΠΑΙ. Ναί.

ΣΩ. Δεῖ ἄρα τὴν τοῦ ὀκτώποδος χωρίου γραμμὴν μείζω μὲν εἶναι τῆσδε τῆς δίποδος, ἐλάττω δὲ τῆς τετράποδος.

ΠΑΙ. Δεῖ.

E ΣΩ. Πειρῶ δὴ | λέγειν πηλίκην τινὰ φῂς αὐτὴν εἶναι.

ΠΑΙ. Τρίποδα.

ΣΩ. Οὐκοῦν ἄνπερ τρίπους ᾖ, τὸ ἥμισυ ταύτης προσληψόμεθα καὶ ἔσται τρίπους; δύο μὲν γὰρ οἵδε, ὁ δὲ εἷς· καὶ ἐνθένδε ὡσαύτως —δύο μὲν οἵδε, ὁ δὲ εἷς· καὶ γίγνεται τοῦτο τὸ χωρίον ὃ φῄς.

ΠΑΙ. Ναί. 83

ΣΩ. Οὐκοῦν ἂν ᾖ τῇδε τριῶν καὶ τῇδε τριῶν, τὸ ὅλον χωρίον τριῶν τρὶς ποδῶν γίγνεται;

ΠΑΙ. Φαίνεται.

ΣΩ. Τρεῖς δὲ τρὶς πόσοι εἰσὶ πόδες;

ΠΑΙ. Ἐννέα.

ΣΩ. Ἔδει δὲ τὸ διπλάσιον πόσων εἶναι ποδῶν;

ΠΑΙ. Ὀκτώ.

ΣΩ. Οὐδ' ἄρα ἀπὸ τῆς τρίποδός πω τὸ ὀκτώπουν χωρίον γίγνεται.

ΠΑΙ. Οὐ δῆτα.

ΣΩ. Ἀλλ' ἀπὸ ποίας; πειρῶ ἡμῖν εἰπεῖν ἀκριβῶς· | καὶ εἰ μὴ βούλει ἀριθμεῖν, ἀλλὰ 84 δεῖξον ἀπὸ ποίας.

ΠΑΙ. Ἀλλὰ μὰ τὸν Δία, ὦ Σώκρατες, ἔγωγε οὐκ οἶδα.

He is at first perplexed and numbed (though that is good for him),

ΣΩ. Ἐννοεῖς αὖ, ὦ Μένων, οὗ ἐστιν ἤδη βαδίζων ὅδε τοῦ ἀναμιμνῄσκεσθαι; ὅτι τὸ μὲν πρῶτον ᾔδει μὲν οὔ, ἥτις ἐστὶν ἡ τοῦ ὀκτώποδος χωρίου γραμμή, ὥσπερ οὐδὲ νῦν πω οἶδεν, ἀλλ' οὖν ᾤετό γ' αὐτὴν τότε εἰδέναι, καὶ θαρραλέως ἀπεκρίνετο ὡς εἰδώς, καὶ οὐχ ἡγεῖτο ἀπορεῖν· νῦν δὲ ἡγεῖται ἀπορεῖν ἤδη, καὶ ὥσπερ οὐκ οἶδεν, οὐδ' οἴεται | εἰδέναι. B

ΜΕΝ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὐκοῦν νῦν βέλτιον ἔχει περὶ τὸ πρᾶγμα ὃ οὐκ ᾔδει;

ΜΕΝ. Καὶ τοῦτό μοι δοκεῖ.

84 ΣΩ. Ἀπορεῖν οὖν αὐτὸν ποιήσαντες καὶ ναρκᾶν ὥσπερ ἡ νάρκη, μῶν τι ἐβλάψαμεν;

ΜΕΝ. Οὐκ ἔμοιγε δοκεῖ.

ΣΩ. Προὔργου γοῦν τι πεποιήκαμεν, ὡς
ἔοικε, πρὸς τὸ ἐξευρεῖν ὅπῃ ἔχει· νῦν μὲν
γὰρ καὶ ζητήσειεν ἂν ἡδέως οὐκ εἰδώς, τότε
δὲ ῥᾳδίως ἂν καὶ πρὸς πολλοὺς καὶ πολ-
λάκις ᾤετ᾽ ἂν εὖ λέγειν περὶ τοῦ διπλασίου |
C χωρίου, ὡς δεῖ διπλασίαν τὴν γραμμὴν ἔχειν
μήκει.

ΜΕΝ. Ἔοικεν.

ΣΩ. Οἴει οὖν ἂν αὐτὸν πρότερον ἐπιχειρῆσαι ζητεῖν ἢ μανθάνειν τοῦτο, ὃ ᾤετο εἰδέναι οὐκ εἰδώς, πρὶν εἰς ἀπορίαν κατέπεσεν ἡγησάμενος μὴ εἰδέναι, καὶ ἐπόθησεν τὸ εἰδέναι;

ΜΕΝ. Οὔ μοι δοκεῖ, ὦ Σώκρατες.

ΣΩ. Ὤνητο ἄρα ναρκήσας;

ΜΕΝ. Δοκεῖ μοι.

ΣΩ. Σκέψαι δὴ ἐκ ταύτης τῆς ἀπορίας ὅ
τι καὶ ἀνευρήσει ζητῶν μετ᾽ ἐμοῦ, οὐδὲν ἀλλ᾽
D ἢ ἐρωτῶντος ἐμοῦ καὶ | οὐ διδάσκοντος· φύλαττε
δὲ ἄν που εὕρῃς με διδάσκοντα καὶ διεξιόντα
αὐτῷ, ἀλλὰ μὴ τὰς τούτου δόξας ἀνερωτῶντα.

Λέγε γάρ μοι σύ· οὐ τὸ μὲν τετράπουν τοῦτο ἡμῖν ἐστι χωρίον; μανθάνεις;

ΠΑΙ. Ἔγωγε.

ΣΩ. Ἕτερον δὲ αὐτῷ προσθεῖμεν ἂν τουτὶ ἴσον;

ΠΑΙ. Ναί.

ΣΩ. Καὶ τρίτον τόδε ἴσον ἑκατέρῳ τούτων;

ΠΑΙ. Ναί.

ΣΩ. Οὐκοῦν προσαναπληρωσαίμεθ' ἂν τὸ ἐν 84
τῇ γωνίᾳ τόδε;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Ἄλλο τι οὖν γένοιτ' ἂν τέτταρα ἴσα χωρία τάδε;

ΠΑΙ. | Ναί. E

ΣΩ. Τί οὖν; τὸ ὅλον τόδε ποσαπλάσιον τοῦδε γίγνεται;

ΠΑΙ. Τετραπλάσιον.

ΣΩ. Ἔδει δὲ διπλάσιον ἡμῖν γενέσθαι· ἢ οὐ μέμνησαι;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ἔστιν αὕτη γραμμὴ ἐκ γωνίας εἰς γωνίαν τείνουσα, τέμνουσα δίχα ἕκαστον |
τούτων τῶν χωρίων; 85

ΠΑΙ. Ναί.

ΣΩ. Οὐκοῦν τέτταρες αὗται γίγνονται γραμμαὶ ἴσαι, περιέχουσαι τουτὶ τὸ χωρίον;

ΠΑΙ. Γίγνονται.

ΣΩ. Σκόπει δή· πηλίκον τί ἐστιν τοῦτο τὸ χωρίον;

ΠΑΙ. Οὐ μανθάνω.

ΣΩ. Οὐχὶ τεττάρων ὄντων τούτων ἥμισυ ἑκάστου ἑκάστη ἡ γραμμὴ ἀποτέτμηκεν ἐντός; ἢ οὔ;

ΠΑΙ. Ναί.

ΣΩ. Πόσα οὖν τηλικαῦτα ἐν τούτῳ ἔνεστιν;

ΠΑΙ. Τέτταρα.

ΣΩ. Πόσα δὲ ἐν τῷδε;

ΠΑΙ. Δύο.

ΣΩ. Τὰ δὲ τέτταρα τοῖν δυοῖν τί ἐστιν;

85 ΠΑΙ. Διπλάσια.

B ΣΩ. Τόδε οὖν | ποσάπουν γίγνεται;

ΠΑΙ. Ὀκτώπουν.

ΣΩ. Ἀπὸ ποίας γραμμῆς;

ΠΑΙ. Ἀπὸ ταύτης.

ΣΩ. Ἀπὸ τῆς ἐκ γωνίας εἰς γωνίαν τεινούσης τοῦ τετράποδος;

ΠΑΙ. Ναί.

ΣΩ. Καλοῦσιν δέ γε ταύτην διάμετρον οἱ σοφισταί· ὥστ᾽ εἰ ταύτῃ διάμετρος ὄνομα, ἀπὸ τῆς διαμέτρου ἄν, ὡς σὺ φῄς, ὦ παῖ Μένωνος, γίγνοιτ᾽ ἂν τὸ διπλάσιον χωρίον.

ΠΑΙ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες.

ΣΩ. Τί σοι δοκεῖ, ὦ Μένων; ἔστιν ἥντινα δόξαν οὐχ αὑτοῦ οὗτος ἀπεκρίνατο;

but at last has *true opinions* wakened in him (i.e. knowledge),

C MEN. | Οὔκ, ἀλλ᾽ ἑαυτοῦ.

ΣΩ. Καὶ μὴν οὐκ ᾔδει γε, ὡς ἔφαμεν ὀλίγον πρότερον.

MEN. Ἀληθῆ λέγεις.

ΣΩ. Ἐνῆσαν δέ γε αὐτῷ αὗται αἱ δόξαι· ἢ οὔ;

MEN. Ναί.

ΣΩ. Τῷ οὐκ εἰδότι ἄρα περὶ ὧν ἂν μὴ εἰδῇ ἔνεισιν ἀληθεῖς δόξαι περὶ τούτων ὧν οὐκ οἶδεν;

MEN. Φαίνεται.

ΣΩ. Καὶ νῦν μέν γε αὐτῷ ὥσπερ ὄναρ ἄρτι ἀνακεκίνηνται αἱ δόξαι αὗται· εἰ δὲ αὐτόν τις ἀνερήσεται πολλάκις τὰ αὐτὰ ταῦτα καὶ πολλαχῇ, οἶσθ᾽ ὅτι τελευτῶν οὐδενὸς ἧττον ἀκριβῶς

D ἐπιστήσεται | περὶ τούτων.

ΜΕΝ. Ἔοικεν. 85

ΣΩ. Οὐκοῦν οὐδενὸς διδάξαντος ἀλλ' ἐρωτήσαντος ἐπιστήσεται, ἀναλαβὼν αὐτὸς ἐξ αὑτοῦ τὴν ἐπιστήμην;

ΜΕΝ. Ναί.

ΣΩ. Τὸ δὲ ἀναλαμβάνειν αὐτὸν ἐν αὑτῷ ἐπιστήμην οὐκ ἀναμιμνήσκεσθαί ἐστιν;

ΜΕΝ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν οὐ τὴν ἐπιστήμην, ἣν νῦν οὗτος ἔχει, ἤτοι ἔλαβέν ποτε ἢ ἀεὶ εἶχεν;

ΜΕΝ. Ναί.

ΣΩ. Οὐκοῦν εἰ μὲν ἀεὶ εἶχεν, ἀεὶ καὶ ἦν ἐπιστήμων· εἰ δὲ ἔλαβέν ποτε, οὐκ ἂν ἔν γε τῷ νῦν βίῳ εἰληφὼς εἴη. ἢ δεδίδαχέν τις τοῦτον | γεωμετρεῖν; E οὗτος γὰρ ποιήσει περὶ πάσης γεωμετρίας ταὐτὰ ταῦτα, καὶ τῶν ἄλλων μαθημάτων ἁπάντων. ἔστιν οὖν ὅστις τοῦτον πάντα δεδίδαχεν; δίκαιος γάρ που εἶ εἰδέναι, ἄλλως τε ἐπειδὴ ἐν τῇ σῇ οἰκίᾳ γέγονε καὶ τέθραπται.

though never taught geometry in his life.

ΜΕΝ. Ἀλλ' οἶδα ἔγωγε ὅτι οὐδεὶς πώποτε ἐδίδαξεν.

ΣΩ. Ἔχει δὲ ταύτας τὰς δόξας, ἢ οὐχί;

ΜΕΝ. Ἀνάγκη, ὦ Σώκρατες, φαίνεται.

ΣΩ. Εἰ δὲ μὴ ἐν τῷ νῦν βίῳ λαβών, οὐκ ἤδη τοῦτο | δῆλον, ὅτι ἐν ἄλλῳ τινὶ χρόνῳ 86 εἶχε καὶ ἐμεμαθήκει;

ΜΕΝ. Φαίνεται.

ΣΩ. Οὐκοῦν οὗτός γέ ἐστιν ὁ χρόνος, ὅτ' οὐκ ἦν ἄνθρωπος;

ΜΕΝ. Ναί.

86 ΣΩ. Εἰ οὖν ὅν τ' ἂν ᾖ χρόνον καὶ ὃν ἂν μὴ ᾖ ἄνθρωπος, ἐνέσονται αὐτῷ ἀληθεῖς δόξαι, αἳ ἐρωτήσει ἐπεγερθεῖσαι ἐπιστῆμαι γίγνονται, ἆρ' οὖν τὸν ἀεὶ χρόνον μεμαθηκυῖα ἔσται ἡ ψυχὴ αὐτοῦ; δῆλον γὰρ ὅτι τὸν πάντα χρόνον ἔστιν ἢ οὐκ ἔστιν ἄνθρωπος.

ΜΕΝ. Φαίνεται.

Hence knowledge is reminiscence by the immortal soul.

B ΣΩ. Οὐκοῦν εἰ | ἀεὶ ἡ ἀλήθεια ἡμῖν τῶν ὄντων ἐστὶν ἐν τῇ ψυχῇ, ἀθάνατος ἂν ἡ ψυχὴ εἴη, ὥστε θαρροῦντα χρή, ὃ μὴ τυγχάνεις ἐπιστάμενος νῦν—τοῦτο δ' ἐστὶν ὃ μὴ μεμνημένος—ἐπιχειρεῖν ζητεῖν καὶ ἀναμιμνῄσκεσθαι;

ΜΕΝ. Εὖ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες, οὐκ οἶδ' ὅπως.

ΣΩ. Καὶ γὰρ ἐγὼ ἐμοί, ὦ Μένων. καὶ τὰ μέν γε ἄλλα οὐκ ἂν πάνυ ὑπὲρ τοῦ λόγου διισχυρισαίμην· ὅτι δ' οἰόμενοι δεῖν ζητεῖν, ἃ μή τις οἶδεν, βελτίους ἂν εἶμεν καὶ ἀνδρικώτεροι καὶ ἧττον ἀργοὶ ἢ εἰ οἰοίμεθα, ἃ μὴ
C ἐπιστάμεθα, | μηδὲ δυνατὸν εἶναι εὑρεῖν μηδὲ δεῖν ζητεῖν—περὶ τούτου πάνυ ἂν διαμαχοίμην, εἰ οἷόστε εἴην, καὶ λόγῳ καὶ ἔργῳ.

ΜΕΝ. Καὶ τοῦτο μέν γε δοκεῖς μοι εὖ λέγειν, ὦ Σώκρατες.

REPUBLIC I

Cephalus "De Senectute"

A chance meeting in Peiraeus.

Κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος 327 τοῦ Ἀρίστωνος, προσευξόμενός τε τῇ θεῷ καὶ ἅμα τὴν ἑορτὴν βουλόμενος θεάσασθαι, τίνα τρόπον ποιήσουσιν, ἅτε νῦν πρῶτον ἄγοντες. καλὴ μὲν οὖν μοι καὶ ἡ τῶν ἐπιχωρίων πομπὴ ἔδοξεν εἶναι, οὐ μέντοι ἧττον ἐφαίνετο πρέπειν ἣν οἱ Θρᾷκες ἔπεμπον. προσευξάμενοι δὲ καὶ θεωρήσαντες | ἀπῇμεν πρὸς τὸ ἄστυ. κατιδὼν B οὖν πόρρωθεν ἡμᾶς οἴκαδε ὡρμημένους Πολέμαρχος ὁ Κεφάλου ἐκέλευσε δραμόντα τὸν παῖδα περιμεῖναί ἑ κελεῦσαι. καί μου ὄπισθεν ὁ παῖς λαβόμενος τοῦ ἱματίου, Κελεύει ὑμᾶς, ἔφη, Πολέμαρχος περιμεῖναι. καὶ ἐγὼ μετεστράφην τε καὶ ἠρόμην ὅπου αὐτὸς εἴη. Οὗτος, ἔφη, ὄπισθεν προσέρχεται· ἀλλὰ περιμένετε. Ἀλλὰ περιμενοῦμεν, ἦ δ' ὃς ὁ Γλαύκων. καὶ ὀλίγῳ ὕστερον ὅ τε Πολέμαρχος | ἧκε καὶ C Ἀδείμαντος ὁ τοῦ Γλαύκωνος ἀδελφὸς καὶ Νικήρατος ὁ Νικίου καὶ ἄλλοι τινές, ὡς ἀπὸ τῆς πομπῆς. ὁ οὖν Πολέμαρχος ἔφη Ὦ Σώκρατες, δοκεῖτέ μοι πρὸς ἄστυ ὡρμῆσθαι ὡς ἀπιόντες. Οὐ γὰρ κακῶς δοξάζεις, ἦν δ' ἐγώ. Ὁρᾷς οὖν ἡμᾶς, ἔφη, ὅσοι ἐσμέν; Πῶς γὰρ οὔ; Ἢ τοίνυν τούτων, ἔφη, κρείττους γένεσθε ἢ μένετ' αὐτοῦ. Οὐκοῦν, ἦν δ' ἐγώ,

327 ἔτι ἓν | λείπεται τὸ ἢν πείσωμεν ὑμᾶς ὡς
D χρὴ ἡμᾶς ἀφεῖναι; Ἦ καὶ δύναισθ' ἄν, ἦ δ'
ὅς, πεῖσαι μὴ ἀκούοντας; Οὐδαμῶς, ἔφη ὁ
Γλαύκων. Ὡς τοίνυν μὴ ἀκουσομένων, οὕτω
328 διανοεῖσθε. καὶ ὁ Ἀδείμαντος, Ἆρά γε, | ἦ
δ' ὅς, οὐδ' ἴστε ὅτι λαμπὰς ἔσται πρὸς ἑσπέραν ἀφ' ἵππων τῇ θεῷ; Ἀφ' ἵππων; ἦν δ' ἐγώ· καινόν γε τοῦτο. λαμπάδια ἔχοντες διαδώσουσιν ἀλλήλοις ἁμιλλώμενοι τοῖς ἵπποις; ἢ πῶς λέγεις; Οὕτως, ἔφη ὁ Πολέμαρχος· καὶ πρός γε παννυχίδα ποιήσουσιν, ἣν ἄξιον θεάσασθαι. ἐξαναστησόμεθα γὰρ μετὰ τὸ δεῖπνον καὶ τὴν παννυχίδα θεασόμεθα καὶ ξυνεσόμεθά τε πολλοῖς τῶν νέων αὐτόθι καὶ διαλεξόμεθα.
B ἀλλὰ μένετε καὶ μὴ ἄλλως | ποιεῖτε. καὶ
ὁ Γλαύκων, Ἔοικεν, ἔφη, μενετέον εἶναι. Ἀλλ' εἰ δοκεῖ, ἦν δ' ἐγώ, οὕτω χρὴ ποιεῖν.

The visit to Cephalus, now an old man.

Ἦιμεν οὖν οἴκαδε εἰς τοῦ Πολεμάρχου, καὶ Λυσίαν τε αὐτόθι κατελάβομεν καὶ Εὐθύδημον, τοὺς τοῦ Πολεμάρχου ἀδελφούς, καὶ δὴ καὶ Θρασύμαχον τὸν Καλχηδόνιον καὶ Χαρμαντίδην τὸν Παιανιέα καὶ Κλειτοφῶντα τὸν Ἀριστωνύμου· ἦν δ' ἔνδον καὶ ὁ πατὴρ ὁ τοῦ Πολεμάρχου Κέφαλος. καὶ μάλα πρεσβύτης μοι ἔδοξεν εἶναι· διὰ
C χρόνου | γὰρ καὶ ἑωράκη αὐτόν. καθῆστο δὲ
ἐστεφανωμένος ἐπί τινος προσκεφαλαίου τε καὶ δίφρου· τεθυκὼς γὰρ ἐτύγχανεν ἐν τῇ αὐλῇ. ἐκαθεζόμεθα οὖν παρ' αὐτόν· ἔκειντο γὰρ δίφροι τινὲς αὐτόθι κύκλῳ. εὐθὺς οὖν με ἰδὼν ὁ Κέφαλος ἠσπάζετό τε καὶ εἶπεν Ὦ Σώκρατες,

οὐ δὲ θαμίζεις ἡμῖν καταβαίνων εἰς τὸν Πει- 328
ραιᾶ· χρῆν μέντοι. εἰ μὲν γὰρ ἐγὼ ἔτι ἐν
δυνάμει ἦν τοῦ ῥᾳδίως πορεύεσθαι πρὸς τὸ
ἄστυ, οὐδὲν ἄν σε ἔδει δεῦρο ἰέναι, | ἀλλ' ἡμεῖς D
ἂν παρὰ σὲ ᾖμεν· νῦν δέ σε χρὴ πυκνότερον
δεῦρο ἰέναι· ὡς εὖ ἴσθι ὅτι ἔμοιγε, ὅσον αἱ
ἄλλαι αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται,
τοσοῦτον αὔξονται αἱ περὶ τοὺς λόγους ἐπι-
θυμίαι τε καὶ ἡδοναί. μὴ οὖν ἄλλως ποίει,
ἀλλὰ τοῖσδέ τε τοῖς νεανίαις ξύνισθι καὶ δεῦρο
παρ' ἡμᾶς φοίτα ὡς παρὰ φίλους τε καὶ πάνυ
οἰκείους. Καὶ μήν, ἦν δ' ἐγώ, ὦ Κέφαλε,
χαίρω διαλεγόμενος τοῖς σφόδρα πρεσβύταις.
δοκεῖ γάρ | μοι χρῆναι παρ' αὐτῶν πυνθάνεσθαι, E
ὥσπερ τινὰ ὁδὸν προεληλυθότων, ἣν καὶ ἡμᾶς
ἴσως δεήσει πορεύεσθαι, ποία τίς ἐστιν,—τραχεῖα
καὶ χαλεπή, ἢ ῥᾳδία καὶ εὔπορος. καὶ δὴ
καὶ σοῦ ἡδέως ἂν πυθοίμην, ὅ τι σοι φαίνεται
τοῦτο, ἐπειδὴ ἐνταῦθα ἤδη εἶ τῆς ἡλικίας, ὃ
δὴ ἐπὶ γήραος οὐδῷ φασιν εἶναι οἱ ποιηταί,
πότερον χαλεπὸν τοῦ βίου ἢ πῶς σὺ αὐτὸ
ἐξαγγέλλεις.

Ἐγώ σοι, ἔφη, νὴ τὸν Δία ἐρῶ, ὦ Σώκρατες,
οἷόν γέ μοι | φαίνεται. πολλάκις γὰρ 329
συνερχόμεθά τινες εἰς ταὐτὸν παρα-
πλησίαν ἡλικίαν ἔχοντες, διασῴζοντες
τὴν παλαιὰν παροιμίαν. οἱ οὖν
πλεῖστοι ἡμῶν ὀλοφύρονται ξυνιόντες, τὰς ἐν
τῇ νεότητι ἡδονὰς ποθοῦντες καὶ ἀναμιμνησκό-
μενοι περί τε τἀφροδίσια καὶ περὶ πότους καὶ
εὐωχίας καὶ ἄλλ' ἄττα ἃ τῶν τοιούτων ἔχεται,

Old age brings him privations, but also calm. For this reason it is endurable,

329 καὶ ἀγανακτοῦσιν ὡς μεγάλων τινῶν ἀπεστερημένοι καὶ τότε μὲν εὖ ζῶντες, νῦν δὲ οὐδὲ B ζῶντες· ἔνιοι δὲ καὶ τὰς τῶν | οἰκείων προπηλακίσεις τοῦ γήρως ὀδύρονται, καὶ ἐπὶ τούτῳ δὴ τὸ γῆρας ὑμνοῦσιν ὅσων κακῶν σφίσιν αἴτιον. ἐμοὶ δὲ δοκοῦσιν, ὦ Σώκρατες, οὗτοι οὐ τὸ αἴτιον αἰτιᾶσθαι. εἰ γὰρ ἦν τοῦτ' αἴτιον, κἂν ἐγὼ τὰ αὐτὰ ταῦτα ἐπεπόνθη ἕνεκά γε γήρως καὶ οἱ ἄλλοι πάντες ὅσοι ἐνταῦθα ἦλθον ἡλικίας. νῦν δ' ἔγωγε ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσιν καὶ ἄλλοις—καὶ δὴ καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό C τινος Πῶς, ἔφη, ὦ | Σοφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; καὶ ὅς, Εὐφήμει, ἔφη, ὦ ἄνθρωπε· ἁσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών. εὖ οὖν μοι καὶ τότε ἔδοξεν ἐκεῖνος εἰπεῖν καὶ νῦν οὐχ ἧττον. παντάπασι γὰρ τῶν γε τοιούτων ἐν τῷ γήρᾳ πολλὴ εἰρήνη γίγνεται καὶ ἐλευθερία—ἐπειδὰν αἱ ἐπιθυμίαι παύσωνται κατατείνουσαι καὶ χαλάσωσι—παντάπασιν τὸ D τοῦ Σοφοκλέους γίγνεται— | δεσποτῶν πάνυ πολλῶν [ἔστι] καὶ μαινομένων ἀπηλλάχθαι. ἀλλὰ καὶ τούτων πέρι καὶ τῶν γε πρὸς τοὺς οἰκείους μία τις αἰτία ἐστίν, οὐ τὸ γῆρας, ὦ Σώκρατες, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσιν, καὶ τὸ γῆρας μετρίως ἐστὶν ἐπίπονον· εἰ δὲ μή, καὶ γῆρας, ὦ Σώκρατες, καὶ νεότης χαλεπὴ τῷ τοιούτῳ ξυμβαίνει.

Καὶ ἐγὼ ἀγασθεὶς αὐτοῦ εἰπόντος ταῦτα,

not because he has wealth,

βουλόμενος ἔτι λέγειν αὐτὸν ἐκίνουν 329 καὶ εἶπον ᾽Ω Κέφαλε, | οἶμαί σου E τοὺς πολλούς, ὅταν ταῦτα λέγῃς, οὐκ ἀποδέχεσθαι, ἀλλ᾽ ἡγεῖσθαί σε ῥᾳδίως τὸ γῆρας φέρειν οὐ διὰ τὸν τρόπον, ἀλλὰ διὰ τὸ πολλὴν οὐσίαν κεκτῆσθαι· τοῖς γὰρ πλουσίοις πολλὰ παραμύθιά φασιν εἶναι. Ἀληθῆ, ἔφη, λέγεις· οὐ γὰρ ἀποδέχονται. καὶ λέγουσι μέν τι, οὐ μέντοι γε ὅσον οἴονται, ἀλλὰ τὸ τοῦ Θεμιστοκλέους εὖ ἔχει, ὃς τῷ Σεριφίῳ λοιδορουμένῳ καὶ λέγοντι ὅτι οὐ δι᾽ αὑτὸν | ἀλλὰ διὰ τὴν 330 πόλιν εὐδοκιμοῖ, ἀπεκρίνατο ὅτι οὔτ᾽ ἂν αὐτὸς Σερίφιος ὢν ὀνομαστὸς ἐγένετο οὔτ᾽ ἐκεῖνος Ἀθηναῖος. καὶ τοῖς δὴ μὴ πλουσίοις χαλεπῶς δὲ τὸ γῆρας φέρουσιν εὖ ἔχει ὁ αὐτὸς λόγος, ὅτι οὔτ᾽ ἂν ὁ ἐπιεικὴς πάνυ τι ῥᾳδίως γῆρας μετὰ πενίας ἐνέγκοι, οὔθ᾽ ὁ μὴ ἐπιεικὴς πλουτήσας εὔκολός ποτ᾽ ἂν ἑαυτῷ γένοιτο. Πότερον δέ, ἦν δ᾽ ἐγώ, ὦ Κέφαλε, ὧν κέκτησαι τὰ πλείω παρέλαβες ἢ ἐπεκτήσω; Ποῖ᾽ ἐπεκτησάμην, | ἔφη, ὦ Σώκρατες; μέσος τις γέγονα B χρηματιστὴς τοῦ τε πάππου καὶ τοῦ πατρός. ὁ μὲν γὰρ πάππος τε καὶ ὁμώνυμος ἐμοὶ σχεδόν τι ὅσην ἐγὼ νῦν οὐσίαν κέκτημαι παραλαβὼν πολλάκις τοσαύτην ἐποίησεν, Λυσανίας δὲ ὁ πατὴρ ἔτι ἐλάττω αὐτὴν ἐποίησε τῆς νῦν οὔσης· ἐγὼ δὲ ἀγαπῶ, ἐὰν μὴ ἐλάττω καταλίπω τούτοισιν, ἀλλὰ βραχεῖ γέ τινι πλείω ἢ παρέλαβον. Οὗ τοι ἕνεκα ἠρόμην, ἦν δ᾽ ἐγώ, ὅτι μοι ἔδοξας οὐ σφόδρα ἀγαπᾶν τὰ | χρήματα. C τοῦτο δὲ ποιοῦσιν, ὡς τὸ πολύ, οἳ ἂν μὴ αὐτοὶ

330 κτήσωνται· οἱ δὲ κτησάμενοι διπλῇ ἢ οἱ ἄλλοι ἀσπάζονται αὐτά. ὥσπερ γὰρ οἱ ποιηταὶ τὰ αὑτῶν ποιήματα καὶ οἱ πατέρες τοὺς παῖδας ἀγαπῶσιν, ταύτῃ τε δὴ καὶ οἱ χρηματισάμενοι περὶ τὰ χρήματα σπουδάζουσιν ὡς ἔργον ἑαυτῶν, καὶ κατὰ τὴν χρείαν, ᾗπερ οἱ ἄλλοι. χαλεποὶ οὖν καὶ ξυγγενέσθαι εἰσίν, οὐδὲν ἐθέλοντες ἐπαινεῖν ἀλλ' ἢ τὸν πλοῦτον. Ἀληθῆ, ἔφη, λέγεις.

D Πάνυ μὲν οὖν, | ἦν δ' ἐγώ. ἀλλά μοι ἔτι τοσόνδε εἰπέ· τί μέγιστον οἴει ἀγαθὸν ἀπολελαυκέναι τοῦ πολλὴν οὐσίαν κεκτῆσθαι; Ὅ, ἦ δ' ὅς, ἴσως οὐκ ἂν πολλοὺς πείσαιμι λέγων. εὖ γὰρ ἴσθι, ἔφη, ὦ Σώκρατες, ὅτι, ἐπειδάν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευτήσειν, εἰσέρχεται αὐτῷ δέος καὶ φροντὶς περὶ ὧν ἔμπροσθεν οὐκ εἰσῄει. οἵ τε γὰρ λεγόμενοι μῦθοι περὶ τῶν ἐν Ἅιδου, ὡς τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην, καταγελώμενοι τέως, τότε δὴ
E στρέφουσιν | αὐτοῦ τὴν ψυχὴν μὴ ἀληθεῖς ὦσιν· καὶ αὐτὸς ἤτοι ὑπὸ τῆς τοῦ γήρως ἀσθενείας ἢ καὶ ὥσπερ ἤδη ἐγγυτέρω ὢν τῶν ἐκεῖ μᾶλλόν τι καθορᾷ αὐτά. ὑποψίας δ' οὖν καὶ δείματος μεστὸς γίγνεται καὶ ἀναλογίζεται ἤδη καὶ σκοπεῖ, εἴ τινά τι ἠδίκηκεν. ὁ μὲν οὖν εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα καὶ ἐκ τῶν ὕπνων, ὥσπερ οἱ παῖδες, θαμὰ ἐγειρόμενος δειμαίνει καὶ ζῇ μετὰ κακῆς
331 ἐλπίδος· τῷ | δὲ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ γηροτρόφος,

though it too contributes not a little to happiness in helping us to a life of justice.

ὡς καὶ Πίνδαρος λέγει. χαριέντως γάρ τοι, ὦ 331 Σώκρατες, τοῦτ' ἐκεῖνος εἶπεν, ὅτι ὃς ἂν δικαίως καὶ ὁσίως τὸν βίον διαγάγῃ,

γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ
ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ.

εὖ οὖν λέγει θαυμαστῶς ὡς σφόδρα. πρὸς δὴ τοῦτ' ἔγωγε τίθημι τὴν τῶν χρημάτων κτῆσιν πλείστου ἀξίαν εἶναι, οὔ τι | παντὶ ἀνδρί, ἀλλὰ B τῷ ἐπιεικεῖ. τὸ γὰρ μηδὲ ἄκοντά τινα ἐξαπατῆσαι ἢ ψεύσασθαι, μηδ' αὖ, ὀφείλοντα ἢ θεῷ θυσίας τινὰς ἢ ἀνθρώπῳ χρήματα, ἔπειτα ἐκεῖσε ἀπιέναι δεδιότα,—μέγα μέρος εἰς τοῦτο ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται. ἔχει δὲ καὶ ἄλλας χρείας πολλάς· ἀλλὰ ἕν γε ἀνθ' ἑνὸς οὐκ ἐλάχιστον ἔγωγε θείην ἂν εἰς τοῦτο ἀνδρὶ νοῦν ἔχοντι, ὦ Σώκρατες, πλοῦτον χρησιμώτατον εἶναι.

Socrates: But what is justice?

Παγκάλως, ἦν δ' ἐγώ, λέγεις, ὦ Κέφαλε. | τοῦτο δ' αὐτό, τὴν δικαιοσύνην, πότερα C τὴν ἀλήθειαν αὐτὸ φήσομεν εἶναι ἁπλῶς οὕτως καὶ τὸ ἀποδιδόναι, ἄν τίς τι παρά του λάβῃ, ἢ καὶ αὐτὰ ταῦτα ἔστιν ἐνίοτε μὲν δικαίως, ἐνίοτε δὲ ἀδίκως ποιεῖν; οἷον τοιόνδε λέγω· πᾶς ἄν που εἴποι, εἴ τις λάβοι παρὰ φίλου ἀνδρὸς σωφρονοῦντος ὅπλα, εἰ μανεὶς ἀπαιτοῖ, ὅτι οὔτε χρὴ τὰ τοιαῦτα ἀποδιδόναι, οὔτε δίκαιος ἂν εἴη ὁ ἀποδιδούς, οὐδ' αὖ πρὸς τὸν οὕτως ἔχοντα πάντα ἐθέλων τἀληθῆ λέγειν. | Ὀρθῶς, ἔφη, D λέγεις. Οὐκ ἄρα οὗτος ὅρος ἐστὶν δικαιοσύνης,

331 ἀληθῆ τε λέγειν καὶ ἃ ἂν λάβῃ τις ἀποδιδόναι. Πάνυ μὲν οὖν, ἔφη, ὦ Σώκρατες, ὑπολαβὼν ὁ Πολέμαρχος, εἴπερ γέ τι χρὴ Σιμωνίδῃ πείθεσθαι. Καὶ μέντοι, ἔφη ὁ Κέφαλος, καὶ παραδίδωμι ὑμῖν τὸν λόγον· δεῖ γάρ με ἤδη τῶν ἱερῶν ἐπιμεληθῆναι. Οὐκοῦν, ἔφην ἐγώ, ὁ Πολέμαρχος τῶν γε σῶν κληρονόμος; Πάνυ γε, ἦ δ' ὃς γελάσας· καὶ ἅμα ᾔει πρὸς τὰ ἱερά.

A Sophist's Notion of Justice.

Thrasymachus.

343 C

Justice is another's good.

Καὶ οὕτω πόρρω εἶ | περί τε τοῦ δικαίου καὶ δικαιοσύνης καὶ ἀδίκου τε καὶ ἀδικίας, ὥστε ἀγνοεῖς ὅτι ἡ μὲν δικαιοσύνη καὶ τὸ δίκαιον ἀλλότριον ἀγαθὸν τῷ ὄντι, τοῦ κρείττονός τε καὶ ἄρχοντος ξυμφέρον, οἰκεία δὲ τοῦ πειθομένου τε καὶ ὑπηρετοῦντος βλάβη, ἡ δὲ ἀδικία τοὐναντίον, καὶ ἄρχει τῶν ὡς ἀληθῶς εὐηθικῶν τε καὶ δικαίων, οἱ δ' ἀρχόμενοι ποιοῦσιν τὸ ἐκείνου ξυμφέρον κρείττονος ὄντος, καὶ εὐδαίμονα ἐκεῖνον

D ποιοῦσιν ὑπηρετοῦντες αὐτῷ, ἑαυτοὺς δὲ | οὐδ' ὁπωστιοῦν. Σκοπεῖσθαι δέ, ὦ εὐηθέστατε Σώκρατες, οὑτωσὶ χρή, ὅτι δίκαιος ἀνὴρ ἀδίκου

The just man has the worst of it everywhere.

πανταχοῦ ἔλαττον ἔχει. πρῶτον μὲν ἐν τοῖς πρὸς ἀλλήλους ξυμβολαίοις, ὅπου ἂν ὁ τοιοῦτος τῷ τοιούτῳ κοινωνήσῃ, οὐδαμοῦ ἂν εὕροις ἐν τῇ διαλύσει τῆς κοινωνίας πλέον ἔχοντα τὸν δίκαιον τοῦ ἀδίκου ἀλλ' ἔλαττον· ἔπειτα ἐν τοῖς πρὸς τὴν πόλιν,

ὅταν τέ τινες εἰσφοραὶ ὦσιν, ὁ μὲν δίκαιος ἀπὸ 343 τῶν ἴσων πλέον εἰσφέρει, ὁ δ' ἔλαττον, ὅταν τε λήψεις, | ὁ μὲν οὐδέν, ὁ δὲ πολλά, κερδαίνει. E καὶ γὰρ ὅταν ἀρχήν τινα ἄρχῃ ἑκάτερος, τῷ μὲν δικαίῳ ὑπάρχει, καὶ εἰ μηδεμία ἄλλη ζημία, τά γε οἰκεῖα δι' ἀμέλειαν μοχθηροτέρως ἔχειν, ἐκ δὲ τοῦ δημοσίου μηδὲν ὠφελεῖσθαι διὰ τὸ δίκαιον εἶναι, πρὸς δὲ τούτοις ἀπεχθέσθαι τοῖς τε οἰκείοις καὶ τοῖς γνωρίμοις, ὅταν μηδὲν ἐθέλῃ αὐτοῖς ὑπηρετεῖν παρὰ τὸ δίκαιον· τῷ δὲ ἀδίκῳ πάντα τούτων τἀναντία ὑπάρχει. λέγω γὰρ ὅνπερ νῦν δὴ ἔλεγον, τὸν μεγάλα | δυνάμενον πλεονεκτεῖν. τοῦτον οὖν σκόπει, 344 εἴπερ βούλει κρίνειν ὅσῳ μᾶλλον ξυμφέρει ἰδίᾳ αὐτῷ ἄδικον εἶναι ἢ τὸ δίκαιον. πάντων δὲ ῥᾷστα μαθήσει, ἐὰν ἐπὶ τὴν τελεωτάτην ἀδικίαν ἔλθῃς, ἣ τὸν μὲν ἀδικήσαντα εὐδαιμονέστατον ποιεῖ, τοὺς δὲ ἀδικηθέντας καὶ ἀδικῆσαι οὐκ ἂν ἐθέλοντας ἀθλιωτάτους. ἔστι δὲ τοῦτο τυραννίς, ἣ οὐ κατὰ σμικρὸν τἀλλότρια καὶ λάθρᾳ καὶ βίᾳ ἀφαιρεῖται, καὶ ἱερὰ καὶ ὅσια καὶ ἴδια καὶ δημόσια, ἀλλὰ ξυλλήβδην· | ὧν ἐφ' ἑκάστῳ B μέρει ὅταν τις ἀδικήσας μὴ λάθῃ, ζημιοῦταί τε καὶ ὀνείδη ἔχει τὰ μέγιστα· καὶ γὰρ ἱερόσυλοι καὶ ἀνδραποδισταὶ καὶ τοιχωρύχοι καὶ ἀποστερηταὶ καὶ κλέπται οἱ κατὰ μέρη ἀδικοῦντες τῶν τοιούτων κακουργημάτων καλοῦνται· ἐπειδὰν δέ τις πρὸς τοῖς τῶν πολιτῶν χρήμασιν καὶ αὐτοὺς ἀνδραποδισάμενος δουλώσηται, ἀντὶ τούτων τῶν αἰσχρῶν ὀνομάτων εὐδαίμονες καὶ

The more colossal your injustice, the happier you are.

344 μακάριοι κέκληνται, οὐ μόνον ὑπὸ τῶν πολιτῶν
C | ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων, ὅσοι ἂν πύθωνται αὐτὸν τὴν ὅλην ἀδικίαν ἠδικηκότα· οὐ γὰρ τὸ ποιεῖν τὰ ἄδικα ἀλλὰ τὸ πάσχειν φοβούμενοι ὀνειδίζουσιν οἱ ὀνειδίζοντες τὴν ἀδικίαν. οὕτως, ὦ Σώκρατες, καὶ ἰσχυρότερον καὶ ἐλευθεριώτερον καὶ δεσποτικώτερον ἀδικία δικαιοσύνης ἐστὶν ἱκανῶς γιγνομένη, καὶ ὅπερ ἐξ ἀρχῆς ἔλεγον, τὸ μὲν τοῦ κρείττονος ξυμφέρον τὸ δίκαιον τυγχάνει ὄν, τὸ δ᾽ ἄδικον ἑαυτῷ λυσιτελοῦν τε καὶ ξυμφέρον.

II

The Myths of the Poets about the Gods are not to be told to Children.

SOCRATES. ADEIMANTUS.

"Music" and gymnastic make up education.

376
E Τίς οὖν ἡ παιδεία; ἢ χαλεπὸν εὑρεῖν βελτίω τῆς ὑπὸ τοῦ πολλοῦ χρόνου ηὑρημένης; ἔστι δέ που ἡ μὲν ἐπὶ σώμασι γυμναστική, ἡ δ᾽ ἐπὶ ψυχῇ μουσική. Ἔστιν γάρ. Ἆρ᾽ οὖν οὐ μουσικῇ πρότερον ἀρξόμεθα παιδεύοντες ἢ γυμναστικῇ; Πῶς δ᾽ οὔ; Μουσικῆς δ᾽, εἶπον, τίθης λόγους, ἢ οὔ; Ἔγωγε. Λόγων δὲ διττὸν εἶδος, τὸ μὲν ἀληθές,
377 ψεῦδος δ᾽ ἕτερον; Ναί. Παιδευτέον δ᾽ | ἐν ἀμφοτέροις, πρότερον δ᾽ ἐν τοῖς ψευδέσιν; Οὐ μανθάνω, ἔφη, πῶς λέγεις. Οὐ μανθάνεις, ἦν δ᾽ ἐγώ, ὅτι πρῶτον τοῖς παιδίοις μύθους λέγομεν;

τοῦτο δέ που ὡς τὸ ὅλον εἰπεῖν ψεῦδος, ἔνι δὲ 377
καὶ ἀληθῆ. πρότερον δὲ μύθοις πρὸς τὰ παιδία
ἢ γυμνασίοις χρώμεθα. Ἔστι ταῦτα. Τοῦτο
δὴ ἔλεγον, ὅτι μουσικῆς πρότερον ἁπτέον ἢ
γυμναστικῆς. Ὀρθῶς, ἔφη. Οὐκοῦν οἶσθ᾽ ὅτι
ἀρχὴ παντὸς ἔργου μέγιστον, ἄλλως τε καὶ
νέῳ καὶ ἁπαλῷ | ὁτῳοῦν; μάλιστα B
γὰρ δὴ τότε πλάττεται καὶ ἐνδύεται
τύπος, ὃν ἄν τις βούληται ἐνσημή-
νασθαι ἑκάστῳ. Κομιδῇ μὲν οὖν. Ἆρ᾽ οὖν
ῥᾳδίως οὕτω παρήσομεν τοὺς ἐπιτυχόντας ὑπὸ
τῶν ἐπιτυχόντων μύθους πλασθέντας ἀκούειν
τοὺς παῖδας καὶ λαμβάνειν ἐν ταῖς ψυχαῖς, ὡς
ἐπὶ τὸ πολύ, ἐναντίας δόξας ἐκείναις, ἅς, ἐπειδὰν
τελεωθῶσιν, ἔχειν οἰησόμεθα δεῖν αὐτούς; Οὐδ᾽
ὁπωστιοῦν παρήσομεν. Πρῶτον δὴ ἡμῖν, ὡς
ἔοικεν, ἐπιστατητέον τοῖς μυθοποιοῖς, καὶ ὃν
μὲν ἂν | καλὸν ποιήσωσιν, ἐγκριτέον, ὃν δ᾽ ἂν C
μή, ἀποκριτέον. τοὺς δ᾽ ἐγκριθέντας
πείσομεν τὰς τροφούς τε καὶ μητέρας
λέγειν τοῖς παισὶ καὶ πλάττειν τὰς
ψυχὰς αὐτῶν τοῖς μύθοις πολὺ μᾶλλον ἢ τὰ
σώματα ταῖς χερσίν, ὧν δὲ νῦν λέγουσι τοὺς
πολλοὺς ἐκβλητέον. Ποίους δή; ἔφη. Ἐν
τοῖς μείζοσιν, ἦν δ᾽ ἐγώ, μύθοις ὀψόμεθα καὶ
τοὺς ἐλάττους. δεῖ γὰρ δὴ τὸν αὐτὸν τύπον
εἶναι καὶ ταὐτὸν δύνασθαι τούς τε μείζους καὶ |
τοὺς ἐλάττους. ἢ οὐκ οἴει; Ἔγωγ᾽, D
ἔφη· ἀλλ᾽ οὐκ ἐννοῶ οὐδὲ τοὺς μεί-
ζους, τίνας λέγεις. Οὓς Ἡσίοδός
τε, εἶπον, καὶ Ὅμηρος ἡμῖν ἐλεγέτην

The importance of the first steps.

The tales told must be selected.

Those of Homer and Hesiod are false, making the gods do wicked deeds.

377 καὶ οἱ ἄλλοι ποιηταί. οὗτοι γάρ που μύθους
τοῖς ἀνθρώποις ψευδεῖς συντιθέντες ἔλεγόν τε
καὶ λέγουσι. Ποίους δή, ἦ δ' ὅς, καὶ τί
αὐτῶν μεμφόμενος λέγεις; Ὅπερ, ἦν δ' ἐγώ,
χρὴ καὶ πρῶτον καὶ μάλιστα μέμφεσθαι, ἄλλως
E τε καὶ ἐάν τις μὴ καλῶς ψεύδηται. | Τί τοῦτο;
Ὅταν εἰκάζῃ τις κακῶς τῷ λόγῳ περὶ θεῶν τε
καὶ ἡρώων, οἷοί εἰσιν, ὥσπερ γραφεὺς μηδὲν
ἐοικότα γράφων οἷς ἂν ὅμοια βουληθῇ γράψαι.
Καὶ γάρ, ἔφη, ὀρθῶς ἔχει τά γε τοιαῦτα μέμ-
φεσθαι. ἀλλὰ πῶς δὴ λέγομεν καὶ ποῖα;
Πρῶτον μέν, ἦν δ' ἐγώ, τὸ μέγιστον καὶ περὶ
τῶν μεγίστων ψεῦδος ὁ εἰπὼν οὐ καλῶς ἐψεύ-
σατο, ὡς Οὐρανός τε ἠργάσατο ἅ φησι δρᾶσαι
αὐτὸν Ἡσίοδος, ὅ τε αὖ Κρόνος ὡς ἐτιμωρή-
378 σατο αὐτόν· τὰ δὲ δὴ | τοῦ Κρόνου ἔργα καὶ
πάθη ὑπὸ τοῦ ὑέος, οὐδ' ἂν εἰ ἦν ἀληθῆ
ᾤμην δεῖν ῥᾳδίως οὕτω λέγεσθαι πρὸς ἄφρονάς
τε καὶ νέους, ἀλλὰ μάλιστα μὲν σιγᾶσθαι, εἰ
δὲ ἀνάγκη τις ἦν λέγειν, δι' ἀπορρήτων ἀκούειν
ὡς ὀλιγίστους, θυσαμένους οὐ χοῖρον, ἀλλά τι
μέγα καὶ ἄπορον θῦμα, ὅπως ὅτι ἐλαχίστοις
συνέβη ἀκοῦσαι. Καὶ γάρ, ἦ δ' ὅς, οὗτοί γε
οἱ λόγοι χαλεποί. Καὶ οὐ λεκτέοι γ', ἔφην,
B ὦ Ἀδείμαντε, | ἐν τῇ ἡμετέρᾳ πόλει· οὐδὲ λεκ-
τέον νέῳ ἀκούοντι ὡς ἀδικῶν τὰ ἔσχατα οὐδὲν
ἂν θαυμαστὸν ποιοῖ, οὐδ' αὖ ἀδικοῦντα πατέρα
κολάζων παντὶ τρόπῳ, ἀλλὰ δρῴη ἂν ὅπερ
θεῶν οἱ πρῶτοί τε καὶ μέγιστοι. Οὐ μὰ τὸν
Δία, ἦ δ' ὅς, οὐδὲ αὐτῷ μοι δοκεῖ ἐπιτήδεια
εἶναι λέγειν. Οὐδέ γε, ἦν δ' ἐγώ, τὸ παράπαν,

ὡς θεοὶ θεοῖς πολεμοῦσί τε καὶ ἐπιβουλεύουσι 378
καὶ μάχονται (οὐδὲ γὰρ ἀληθῆ), | εἴ γε δεῖ C
ἡμῖν τοὺς μέλλοντας τὴν πόλιν φυλάξειν αἴσχι-
στον νομίζειν τὸ ῥᾳδίως ἀλλήλοις ἀπεχθάνεσθαι,
πολλοῦ δεῖ γιγαντομαχίας τε μυθολογητέον
αὐτοῖς καὶ ποικιλτέον, καὶ ἄλλας ἔχθρας πολλὰς
καὶ παντοδαπὰς θεῶν τε καὶ ἡρώων πρὸς
συγγενεῖς τε καὶ οἰκείους αὐτῶν. ἀλλ' εἴ πως
μέλλομεν πείσειν ὡς οὐδεὶς πώποτε πολίτης
ἕτερος ἑτέρῳ ἀπήχθετο οὐδ' ἐστὶ τοῦτο ὅσιον,
τοιαῦτα λεκτέα μᾶλλον πρὸς τὰ παιδία εὐθὺς
καὶ γέρουσι | καὶ γραυσί, καὶ πρεσβυτέροις D
γιγνομένοις καὶ τοὺς ποιητὰς ἐγγὺς τούτων
ἀναγκαστέον λογοποιεῖν. Ἥρας δὲ δεσμοὺς
ὑπὸ ὑέος καὶ Ἡφαίστου ῥίψεις ὑπὸ πατρός
(μέλλοντος τῇ μητρὶ τυπτομένῃ ἀμύνειν), καὶ
θεομαχίας ὅσας Ὅμηρος πεποίηκεν οὐ παρα-
δεκτέον εἰς τὴν πόλιν, οὔτ' ἐν ὑπονοίαις πεποιη-
μένας οὔτε ἄνευ ὑπονοιῶν. ὁ γὰρ νέος οὐχ
οἷόστε κρίνειν ὅ τι τε ὑπόνοια καὶ ὃ
μή, ἀλλ' ἃ ἂν τηλικοῦτος ὢν λάβῃ
ἐν ταῖς δόξαις, δυσέκνιπτά | τε καί E
ἀμετάστατα φιλεῖ γίγνεσθαι. ὧν δὴ ἴσως
ἕνεκα περὶ παντὸς ποιητέον, ἃ πρῶτα ἀκούου-
σιν ὅτι κάλλιστα μεμυθολογημένα πρὸς ἀρετὴν
ἀκούειν.

A child does not see the hidden meaning.

Ἔχει γάρ, ἔφη, λόγον. ἀλλ' εἴ τις αὖ καὶ
ταῦτα ἐρωτῴη ἡμᾶς αὐτά, ἅττα ἐστὶ καὶ τίνες
οἱ μῦθοι, τίνας ἂν φαῖμεν; καὶ ἐγὼ εἶπον Ὦ
Ἀδείμαντε, οὐκ ἐσμὲν ποιηταὶ ἐγώ τε καὶ σὺ ἐν
τῷ παρόντι, | ἀλλ' οἰκισταὶ πόλεως. οἰκισταῖς 379

379 δὲ τοὺς μὲν τύπους προσήκει εἰδέναι, ἐν οἷ
δεῖ μυθολογεῖν τοὺς ποιητάς, παρ' οὓς ἐὰ
ποιῶσιν οὐκ ἐπιτρεπτέον, οὐ μὴν αὐτοῖς γ
ποιητέον μύθους. Ὀρθῶς, ἔφη· ἀλλ' αὐτὸ δὴ
τοῦτο, οἱ τύποι περὶ θεολογίας τίνες ἂν εἶεν
Τοιοίδε πού τινες, ἦν δ' ἐγώ· οἷος τυγχάνει ὁ
θεὸς ὤν, ἀεὶ δήπου ἀποδοτέον, ἐάντ
τις αὐτὸν ἐν ἔπεσιν ποιῇ, ἐάντε ἐ
μέλεσιν, ἐάντε ἐν τραγῳδίᾳ. Δε

God must be made good, as he is.

B γάρ. Οὐκοῦν ἀγαθὸς ὅ γε θεὸς τῷ ὄντι | τ
καὶ λεκτέον οὕτω; Τί μήν; Ἀλλὰ μὴν οὐδέ
γε τῶν ἀγαθῶν βλαβερόν· ἦ γάρ; Οὔ μο
δοκεῖ. Ἆρ' οὖν, ὃ μὴ βλαβερόν, βλάπτει
Οὐδαμῶς. Ὃ δὲ μὴ βλάπτει, κακόν τι ποιεῖ
Οὐδὲ τοῦτο. Ὃ δέ γε μηδὲν κακὸν ποιεῖ, οὐδ
ἄν τινος εἴη κακοῦ αἴτιον; Πῶς γάρ; Τί δέ
ὠφέλιμον τὸ ἀγαθόν; Ναί. Αἴτιον ἄρα εὐ
πραγίας; Ναί. Οὐκ ἄρα πάντων γε αἴτιον τ
ἀγαθόν, ἀλλὰ τῶν μὲν εὖ ἐχόντων αἴτιον, τῶ
C δὲ κακῶν ἀναίτιον. Παντελῶς | γ', ἔφη. Οὐδ
ἄρα, ἦν δ' ἐγώ, ὁ θεός, ἐπειδὴ ἀγαθός, πάντω
ἂν εἴη αἴτιος, ὡς οἱ πολλοὶ λέγουσιν, ἀλλ
ὀλίγων μὲν τοῖς ἀνθρώποις αἴτιος, πολλῶν δ
ἀναίτιος (πολὺ γὰρ ἐλάττω τἀγαθὰ τῶν κακῶ
ἡμῖν)· καὶ τῶν μὲν ἀγαθῶν οὐδένα ἄλλο
αἰτιατέον, τῶν δὲ κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖ
τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν. Ἀληθέστατα, ἔφ
δοκεῖς μοι λέγειν. Οὐκ ἄρα, ἦν δ' ἐγω
ἀποδεκτέον οὔτε Ὁμήρου οὔτ' ἄλλου ποιητο
D ταύτην | τὴν ἁμαρτίαν περὶ τοὺς θεοὺς ἀνοήτω
ἁμαρτάνοντος καὶ λέγοντος ὡς δοιοὶ πίθοι

κατακείαται ἐν Διὸς οὔδει 379
κηρῶν ἔμπλειοι, ὁ μὲν ἐσθλῶν, αὐτὰρ ὃ δειλῶν·

καὶ ᾧ μὲν ἂν μίξας ὁ Ζεὺς δῷ ἀμφοτέρων,

ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ' ἐσθλῷ,

ᾧ δ' ἂν μή, ἀλλ' ἄκρατα τὰ ἕτερα, τὸν δὲ

κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει·

οὐδ' ὡς ταμίας ἡμῖν Ζεὺς E

ἀγαθῶν τε κακῶν τε τέτυκται.

Τὴν δὲ τῶν ὅρκων καὶ σπονδῶν σύγχυσιν, ἣν ὁ Πάνδαρος συνέχεεν, ἐάν τις φῇ δι' Ἀθηνᾶς τε καὶ Διὸς γεγονέναι, οὐκ ἐπαινεσόμεθα· οὐδὲ θεῶν ἔριν τε καὶ κρίσιν | διὰ Θέμιτός τε 380
καὶ Διός· οὐδ' αὖ, ὡς Αἰσχύλος λέγει, ἐατέον ἀκούειν τοὺς νέους ὅτι

θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ.

ἀλλ' ἐάν τις ποιῇ, ἐν οἷς ταῦτα τὰ ἰαμβεῖα ἔνεστι, τὰ τῆς Νιόβης πάθη ἢ τὰ Πελοπιδῶν ἢ τὰ Τρωϊκὰ ἤ τι ἄλλο τῶν τοιούτων, ἢ οὐ θεοῦ ἔργα ἐατέον αὐτὰ λέγειν, ἢ εἰ θεοῦ, ἐξευρετέον αὐτοῖς σχεδὸν ὃν νῦν ἡμεῖς λόγον ζητοῦμεν, καὶ λεκτέον ὡς ὁ μὲν θεὸς δίκαιά τε καὶ ἀγαθὰ | ἠργάζετο, οἱ δὲ ὠνίναντο B
κολαζόμενοι. ὡς δὲ ἄθλιοι μὲν οἱ δίκην διδόντες, ἦν δὲ δὴ ὁ δρῶν ταῦτα θεός, οὐκ ἐατέον λέγειν τὸν ποιητήν· ἀλλ' εἰ μὲν ὅτι ἐδεήθησαν κολάσεως λέγοιεν, ὡς ἄθλιοι

Good he is, even when he punishes.

380 οἱ κακοί, διδόντες δὲ δίκην ὠφελοῦντο ὑπὸ τοῦ
θεοῦ, ἐατέον· κακῶν δὲ αἴτιον φάναι θεόν τινα
γίγνεσθαι ἀγαθὸν ὄντα, — διαμαχετέον παντὶ
τρόπῳ μήτε τινὰ λέγειν ταῦτα ἐν τῇ αὑτοῦ
πόλει, εἰ μέλλει εὐνομήσεσθαι, μήτε τινὰ ἀκούειν
C μήτε νεώτερον | μήτε πρεσβύτερον, μήτε ἐν
μέτρῳ μήτε ἄνευ μέτρου μυθολογοῦντα, ὡς οὔτε
ὅσια ἂν λεγόμενα, εἰ λέγοιτο, οὔτε ξύμφορα
ἡμῖν οὔτε σύμφωνα αὐτὰ αὑτοῖς. Σύμψηφός
σοί εἰμι, ἔφη, τούτου τοῦ νόμου, καί μοι
ἀρέσκει. Οὗτος μὲν τοίνυν, ἦν δ' ἐγώ, εἷς ἂν
εἴη τῶν περὶ θεοὺς νόμων τε καὶ τύπων, ἐν ᾧ
δεήσει τοὺς λέγοντας λέγειν καὶ τοὺς ποιοῦντας
ποιεῖν, μὴ πάντων αἴτιον τὸν θεὸν ἀλλὰ τῶν
ἀγαθῶν. Καὶ μάλ', ἔφη, ἀπόχρη.

III

Youth's Surroundings should be Fair.

Fair works of art should feed his soul.

401 Ἆρ' οὖν τοῖς ποιηταῖς ἡμῖν μόνον | ἐπι-
B στατητέον καὶ προσαναγκαστέον τὴν
τοῦ ἀγαθοῦ εἰκόνα ἤθους ἐμποιεῖν
τοῖς ποιήμασιν (ἢ μὴ παρ' ἡμῖν
ποιεῖν), ἢ καὶ τοῖς ἄλλοις δημιουργοῖς ἐπι-
στατητέον καὶ διακωλυτέον τὸ κακόηθες τοῦτο
καὶ ἀκόλαστον καὶ ἀνελεύθερον καὶ ἄσχημον
μήτε ἐν εἰκόσι ζῴων μήτε ἐν οἰκοδομήμασι
μήτε ἐν ἄλλῳ μηδενὶ δημιουργουμένῳ ἐμποιεῖν·
ἢ ὁ μὴ οἷόστε ὢν οὐκ ἐατέος παρ' ἡμῖν
δημιουργεῖν, ἵνα μὴ ἐν κακίας εἰκόσι τρεφό-

μενοι ἡμῖν οἱ φύλακες ὥσπερ ἐν κακῇ βοτάνῃ, 401
| πολλὰ ἑκάστης ἡμέρας κατὰ σμικρὸν ἀπὸ C
πολλῶν δρεπόμενοί τε καὶ νεμόμενοι, ἕν τι
ξυνιστάντες λανθάνωσι κακὸν μέγα ἐν τῇ αὑτῶν
ψυχῇ· ἀλλ᾽ ἐκείνους ζητητέον τοὺς δημιουργοὺς
τοὺς εὐφυῶς δυναμένους ἰχνεύειν τὴν τοῦ καλοῦ
τε καὶ εὐσχήμονος φύσιν, ἵνα ὥσπερ ἐν ὑγιεινῷ
τόπῳ οἰκοῦντες οἱ νέοι ἀπὸ παντὸς ὠφελῶνται,
ὁπόθεν ἂν αὐτοῖς ἀπὸ τῶν καλῶν ἔργων ἢ πρὸς
ὄψιν ἢ πρὸς ἀκοήν τι προσβάλῃ, ὥσπερ αὔρα
φέρουσα ἀπὸ χρηστῶν τόπων ὑγίειαν, καὶ εὐθὺς
| ἐκ παίδων λανθάνῃ εἰς ὁμοιότητά τε καὶ φιλίαν D
καὶ ξυμφωνίαν τῷ καλῷ λόγῳ ἄγουσα; Πολὺ
γὰρ ἄν, ἔφη, κάλλιστα οὕτω τραφεῖεν. Ἆρ᾽
οὖν, ἦν δ᾽ ἐγώ, ὦ Γλαύκων, τούτων ἕνεκα
κυριωτάτη ἐν μουσικῇ τροφή, ὅτι μάλιστα κατα-
δύεται εἰς τὸ ἐντὸς τῆς ψυχῆς ὅ τε ῥυθμὸς καὶ
ἁρμονία, καὶ ἐρρωμενέστατα ἅπτεται αὐτῆς,
φέροντα τὴν εὐσχημοσύνην, καὶ ποιεῖ εὐσχή-
μονα, ἐάν τις ὀρθῶς τραφῇ, εἰ δὲ μή, τοὐναν-
τίον; | καὶ ὅτι αὖ τῶν παραλειπομένων καὶ E
μὴ καλῶς δημιουργηθέντων ἢ μὴ καλῶς φύντων
ὀξύτατ᾽ ἂν αἰσθάνοιτο ὁ ἐκεῖ τραφεὶς ὡς ἔδει, καὶ
ὀρθῶς δὴ χαίρων καὶ δυσχεραίνων τὰ μὲν καλὰ
ἐπαινοῖ καὶ καταδεχόμενος εἰς τὴν ψυχὴν τρέφοιτ᾽
ἂν ἀπ᾽ αὐτῶν καὶ γίγνοιτο καλός τε κἀγαθός, | τὰ 402
δ᾽ αἰσχρὰ ψέγοι τ᾽ ἂν ὀρθῶς καὶ μισοῖ ἔτι νέος
ὤν, πρὶν λόγον δυνατὸς εἶναι λαβεῖν, ἐλθόντος δὲ
τοῦ λόγου ἀσπάζοιτ᾽ ἂν αὐτὸν γνωρίζων δι᾽ οἰκειό-
τητα μάλιστα ὁ οὕτω τραφείς; Ἐμοὶ γοῦν δοκεῖ,
ἔφη, τῶν τοιούτων ἕνεκα ἐν μουσικῇ εἶναι ἡ τροφή.

There is too much Doctoring.

With modern physic sickliness lives to old age—if rich.

405 C Τὸ δὲ ἰατρικῆς, ἦν δ' ἐγώ, δεῖσθαι, ὅτι μὴ
τραυμάτων ἕνεκα ἤ τινων ἐπετείων
D νοσημάτων ἐπιπεσόντων, ἀλλὰ | δι'
ἀργίαν τε καὶ δίαιταν οἵαν διήλθομεν,
ῥευμάτων τε καὶ πνευμάτων ὥσπερ
λίμνας ἐμπιμπλαμένους φύσας τε καὶ κατάρρους
νοσήμασιν ὀνόματα τίθεσθαι ἀναγκάζειν τοὺς
κομψοὺς Ἀσκληπιάδας, οὐκ αἰσχρὸν δοκεῖ;
Καὶ μάλ', ἔφη, ὡς ἀληθῶς καινὰ ταῦτα καὶ
ἄτοπα νοσημάτων ὀνόματα. Οἷα, ἦν δ' ἐγώ,
ὡς οἶμαι, οὐκ ἦν ἐπ' Ἀσκληπιοῦ· τεκμαίρομαι
E δέ, ὅτι αὐτοῦ οἱ ὑεῖς ἐν Τροίᾳ | Εὐρυπύλῳ
τετρωμένῳ ἐπ' οἶνον Πράμνειον ἄλφιτα πολλὰ
406 ἐπιπασθέντα καὶ τυρὸν ἐπιξυσθέντα, | ἃ δὴ
δοκεῖ φλεγματώδη εἶναι, οὐκ ἐμέμψαντο τῇ
δούσῃ πιεῖν, οὐδὲ Πατρόκλῳ τῷ ἰωμένῳ ἐπετί-
μησαν. Καὶ μὲν δή, ἔφη, ἄτοπόν γε τὸ πῶμα
οὕτως ἔχοντι. Οὔκ, εἴ γ' ἐννοεῖς, εἶπον, ὅτι
τῇ παιδαγωγικῇ τῶν νοσημάτων ταύτῃ τῇ νῦν
ἰατρικῇ πρὸ τοῦ Ἀσκληπιάδαι οὐκ ἐχρῶντο,
ὥς φασι, πρὶν Ἡρόδικον γενέσθαι· Ἡρόδικος
δὲ παιδοτρίβης ὢν καὶ νοσώδης γενόμενος,
μείξας γυμναστικὴν ἰατρικῇ, ἀπέκναισε πρῶτον
B μὲν | καὶ μάλιστα ἑαυτόν, ἔπειτ' ἄλλους ὕστερον
πολλούς. Πῇ δή; ἔφη. Μακρόν, ἦν δ' ἐγώ,
τὸν θάνατον αὑτῷ ποιήσας. παρακολουθῶν γὰρ
τῷ νοσήματι θανασίμῳ ὄντι οὔτε ἰάσασθαι,
οἶμαι, οἷός τ' ἦν ἑαυτόν, ἐν ἀσχολίᾳ τε πάντων
ἰατρευόμενος διὰ βίου ἔζη ἀποκναιόμενος, εἴ τι

τῆς εἰωθυίας διαίτης ἐκβαίη, δυσθανατῶν δὲ 406
ὑπὸ σοφίας εἰς γῆρας ἀφίκετο. Καλὸν ἄρα
τὸ γέρας, ἔφη, τῆς τέχνης ἠνέγκατο. Οἷον
εἰκός, ἦν δ' ἐγώ, τὸν | μὴ εἰδότα ὅτι Ἀσκλη- C
πιὸς οὐκ ἀγνοίᾳ οὐδὲ ἀπειρίᾳ τούτου τοῦ εἴδους
τῆς ἰατρικῆς τοῖς ἐκγόνοις οὐ κατέδειξεν αὐτό,
ἀλλ' εἰδὼς ὅτι πᾶσι τοῖς εὐνομουμένοις ἔργον
τι ἑκάστῳ ἐν τῇ πόλει προστέτακται, ὃ ἀναγ-
καῖον ἐργάζεσθαι, καὶ οὐδενὶ σχολὴ διὰ βίου
κάμνειν ἰατρευομένῳ. ὃ ἡμεῖς γελοίως ἐπὶ μὲν
τῶν δημιουργῶν αἰσθανόμεθα, ἐπὶ δὲ τῶν
πλουσίων τε καὶ εὐδαιμόνων δοκούντων εἶναι
οὐκ αἰσθανόμεθα. Πῶς; ἔφη.

Τέκτων μέν, ἦν δ' | ἐγώ, κάμνων ἀξιοῖ παρὰ D
τοῦ ἰατροῦ φάρμακον πιὼν ἐξεμέσαι
τὸ νόσημα ἢ κάτω καθαρθεὶς ἢ
καύσει ἢ τομῇ χρησάμενος ἀπηλ-
λάχθαι· ἐὰν δέ τις αὐτῷ μακρὰν δίαιταν προσ-
τάττῃ, πιλίδιά τε περὶ τὴν κεφαλὴν περιτιθεὶς
καὶ τὰ τούτοις ἑπόμενα, ταχὺ εἶπεν ὅτι οὐ
σχολὴ κάμνειν οὐδὲ λυσιτελεῖ οὕτω ζῆν, νοσή-
ματι τὸν νοῦν προσέχοντα, τῆς δὲ προκειμένης
ἐργασίας ἀμελοῦντα. καὶ μετὰ ταῦτα χαίρειν
εἰπὼν τῷ τοιούτῳ ἰατρῷ, | εἰς τὴν εἰωθυῖαν E
δίαιταν ἐμβάς, ὑγιὴς γενόμενος ζῇ τὰ ἑαυτοῦ
πράττων· ἐὰν δὲ μὴ ἱκανὸν ᾖ τὸ σῶμα ὑπενεγ-
κεῖν, τελευτήσας πραγμάτων ἀπηλλάγη. Καὶ
τῷ τοιούτῳ μέν γ', ἔφη, δοκεῖ πρέπειν οὕτω
ἰατρικῇ χρῆσθαι. Ἆρ', ἦν δ' ἐγώ, ὅτι ἦν τι
αὐτῷ ἔργον, | ὃ εἰ μὴ πράττοι, οὐκ ἐλυσιτέλει 407
ζῆν; Δῆλον, ἔφη. Ὁ δὲ δὴ πλούσιος, ὥς

But the artisan has no time for physic.

407 φαμεν, οὐδὲν ἔχει τοιοῦτον ἔργον προκείμενον, οὗ ἀναγκαζομένῳ ἀπέχεσθαι ἀβίωτον. Οὔκουν δὴ λέγεταί γε. Φωκυλίδου γάρ, ἦν δ' ἐγώ, οὐκ ἀκούεις, πῶς φησι δεῖν, ὅταν τῳ ἤδη βίος ᾖ, ἀρετὴν ἀσκεῖν. Οἶμαι δέ γε, ἔφη, καὶ πρότερον. Μηδέν, εἶπον, περὶ τούτου αὐτῷ μαχώμεθα, ἀλλ' ἡμᾶς αὐτοὺς διδάξωμεν, πότερον μελετητέον τοῦτο τῷ πλουσίῳ καὶ ἀβίωτον τῷ
B μὴ | μελετῶντι, ἢ νοσοτροφία τεκτονικῇ μὲν καὶ ταῖς ἄλλαις τέχναις ἐμπόδιον τῇ προσέξει τοῦ νοῦ, τὸ δὲ Φωκυλίδου παρακέλευμα οὐδὲν ἐμποδίζει. Ναὶ μὰ τὸν Δία, ἦ δ' ὅς, σχεδόν γέ τι πάντων μάλιστα ἥ γε περαιτέρω γυμναστικῆς ἡ περιττὴ αὕτη ἐπιμέλεια τοῦ σώματος. Καὶ γὰρ πρὸς οἰκονομίας καὶ πρὸς στρατείας καὶ πρὸς ἑδραίους ἐν πόλει ἀρχὰς δύσκολος. τὸ δὲ δὴ μέγιστον, ὅτι καὶ πρὸς μαθήσεις ἁστινασοῦν καὶ ἐννοήσεις
C τε καὶ μελέτας | πρὸς ἑαυτὸν χαλεπή, κεφαλῆς τινὰς ἀεὶ διατάσεις καὶ ἰλίγγους ὑποπτεύουσα καὶ αἰτιωμένη ἐκ φιλοσοφίας ἐγγίγνεσθαι, ὥστε, ὅπῃ ταύτῃ ἀρετὴ ἀσκεῖται καὶ δοκιμάζεται, πάντῃ ἐμπόδιος· κάμνειν γὰρ οἴεσθαι ποιεῖ ἀεὶ καὶ ὠδίνοντα μήποτε λήγειν περὶ τοῦ σώματος. Εἰκός γ', ἔφη. Οὐκοῦν ταῦτα γιγνώσκοντα φῶμεν καὶ Ἀσκληπιὸν τοὺς μὲν φύσει τε καὶ διαίτῃ ὑγιεινῶς ἔχοντας τὰ σώματα
D νόσημα δέ τι ἀποκεκριμένον | ἴσχοντας ἐν αὑτοῖς, τούτοις μὲν καὶ ταύτῃ τῇ ἕξει καταδεῖξαι ἰατρικήν, φαρμάκοις τε καὶ τομαῖς τὰ νοσήματα ἐκβάλλοντα αὐτῶν τὴν

Nursing one's ailments hinders any vocation, active or mental.

Asclepius would not save the sickly.

εἰωθυῖαν προστάττειν δίαιταν, ἵνα μὴ τὰ πολι- 407
τικὰ βλάπτοι, τὰ δ᾿ εἴσω διὰ παντὸς νενοσηκότα
σώματα οὐκ ἐπιχειρεῖν διαίταις κατὰ σμικρὸν
ἀπαντλοῦντα καὶ ἐπιχέοντα μακρὸν καὶ κακὸν
βίον ἀνθρώπῳ ποιεῖν, καὶ ἔκγονα αὐτῶν, ὡς τὸ
εἰκός, ἕτερα τοιαῦτα φυτεύειν, ἀλλὰ τὸν μὴ
δυνάμενον | ἐν τῇ καθεστηκυίᾳ περιόδῳ ζῆν μὴ E
οἴεσθαι δεῖν θεραπεύειν, ὡς οὔτε αὑτῷ οὔτε πόλει
λυσιτελῆ; Πολιτικόν, ἔφη, λέγεις Ἀσκληπιόν.
Δῆλον, ἦν δ᾿ ἐγώ, ὅτι τοιοῦτος ἦν· καὶ οἱ
παῖδες αὐτοῦ. οὐχ ὁρᾷς ὡς καὶ ἐν Τροίᾳ
ἀγαθοὶ πρὸς τὸν πόλεμον | ἐφάνησαν, καὶ τῇ 408
ἰατρικῇ, ὡς ἐγὼ λέγω, ἐχρῶντο; ἢ οὐ μέμνησαι
ὅτι καὶ τῷ Μενέλεῳ ἐκ τοῦ τραύματος οὗ ὁ
Πάνδαρος ἔβαλεν

αἷμ᾿ ἐκμυζήσάν τ᾿ ἐπί τ᾿ ἤπια φάρμακ᾿ ἔπασσον,

ὅ τι δ᾿ ἐχρῆν μετὰ τοῦτο ἢ πιεῖν ἢ φαγεῖν
οὐδὲν μᾶλλον ἢ τῷ Εὐρυπύλῳ προσέταττον,
ὡς ἱκανῶν ὄντων τῶν φαρμάκων ἰάσασθαι
ἄνδρας πρὸ τῶν τραυμάτων ὑγιεινούς τε καὶ
κοσμίους ἐν διαίτῃ, | κἂν εἰ τύχοιεν ἐν τῷ B
παραχρῆμα κυκεῶνα πιόντες, νοσώδη δὲ φύσει
τε καὶ ἀκόλαστον οὔτε αὑτοῖς οὔτε τοῖς ἄλλοις
ᾤοντο λυσιτελεῖν ζῆν, οὐδ᾿ ἐπὶ τούτοις τὴν
τέχνην δεῖν εἶναι, οὐδὲ θεραπευτέον αὐτούς, οὐδ᾿
εἰ Μίδου πλουσιώτεροι εἶεν. Πάνυ κομψούς,
ἔφη, λέγεις Ἀσκληπιοῦ παῖδας.

The Story of the Metals in Men,—in the Rulers, Gold.

414 Τίς ἂν οὖν ἡμῖν, ἦν δ᾽ ἐγώ, μηχανὴ γένοιτο
B τῶν ψευδῶν τῶν ἐν δέοντι γιγνομένων, ὧν νῦν
C δὴ ἐλέγομεν, γενναῖόν τι ἓν ψευδομένους | πεῖσαι μάλιστα μὲν καὶ αὐτοὺς τοὺς ἄρχοντας, εἰ δὲ μή, τὴν ἄλλην πόλιν;

A noble fiction.

Ποῖόν τι; ἔφη. Μηδὲν καινόν, ἦν δ᾽ ἐγώ, ἀλλὰ Φοινικικόν τι, πρότερον μὲν ἤδη πολλαχοῦ γεγονός, ὥς φασιν οἱ ποιηταὶ καὶ πεπείκασιν, ἐφ᾽ ἡμῶν δὲ οὐ γεγονὸς οὐδ᾽ οἶδα εἰ γενόμενον ἄν, πεῖσαι δὲ συχνῆς πειθοῦς. Ὡς ἔοικας, ἔφη, ὀκνοῦντι λέγειν. Δόξω δέ σοι, ἦν δ᾽ ἐγώ, καὶ μάλ᾽ εἰκότως ὀκνεῖν, ἐπειδὰν εἴπω.
D Λέγ᾽, ἔφη, καὶ μὴ φοβοῦ. Λέγω δή· | καίτοι οὐκ οἶδα ὁποίᾳ τόλμῃ ἢ ποίοις λόγοις χρώμενος ἐρῶ· καὶ ἐπιχειρήσω πρῶτον μὲν αὐτοὺς τοὺς ἄρχοντας πείθειν καὶ τοὺς στρατιώτας, ἔπειτα δὲ καὶ τὴν ἄλλην πόλιν, ὡς ἄρ᾽ ἃ ἡμεῖς αὐτοὺς ἐτρέφομέν τε καὶ ἐπαιδεύομεν, ὥσπερ ὀνείρατα ἐδόκουν ταῦτα πάντα πάσχειν τε καὶ γίγνεσθαι περὶ αὐτούς, ἦσαν δὲ τότε τῇ ἀληθείᾳ ὑπὸ γῆς ἐντὸς πλαττόμενοι καὶ τρεφόμενοι καὶ αὐτοὶ καὶ τὰ ὅπλα αὐτῶν

You men are sons of Earth,

E καὶ ἡ ἄλλη σκευὴ δημιουργουμένη ἔτι. | ἤδη δὲ παντελῶς ἐξειργασμένοι ἦσαν, καὶ ἡ γῆ αὐτοὺς μήτηρ οὖσα ἀνῆκεν, καὶ νῦν δεῖ ὡς περὶ μητρὸς καὶ τροφοῦ τῆς χώρας ἐν ᾗ εἰσὶ βουλεύεσθαί τε καὶ ἀμύνειν αὐτούς, ἐάν τις ἐπ᾽ αὐτὴν ἴῃ, καὶ ὑπὲρ τῶν ἄλλων πολιτῶν ὡς ἀδελφῶν

ὄντων καὶ γηγενῶν διανοεῖσθαι. Οὐκ ἐτός, ἔφη, 414
πάλαι ᾐσχύνου τὸ ψεῦδος λέγειν. Πάνυ, ἦν
δ' ἐγώ, | εἰκότως· ἀλλ' ὅμως ἄκουε καὶ τὸ 415
λοιπὸν τοῦ μύθου. ἐστὲ μὲν γὰρ δὴ πάντες
οἱ ἐν τῇ πόλει ἀδελφοί, ὡς φήσομεν πρὸς αὐτοὺς
μυθολογοῦντες, ἀλλ' ὁ θεὸς πλάττων, ὅσοι μὲν
ὑμῶν ἱκανοὶ ἄρχειν, χρυσὸν ἐν τῇ γενέσει
ξυνέμειξεν αὐτοῖς, διὸ τιμιώτατοί
εἰσιν· ὅσοι δ' ἐπίκουροι, ἄργυρον·
σίδηρον δὲ καὶ χαλκὸν τοῖς τε γεωρ-
γοῖς καὶ τοῖς ἄλλοις δημιουργοῖς. ἅτε οὖν
ξυγγενεῖς ὄντες πάντες τὸ μὲν πολὺ ὁμοίους ἂν
ὑμῖν αὐτοῖς γεννῷτε, ἔστι δ' ὅτε ἐκ | χρυσοῦ B
γεννηθείη ἂν ἀργυροῦν καὶ ἐξ ἀργυροῦ χρυσοῦν
ἔκγονον καὶ τἆλλα πάντα οὕτως ἐξ ἀλλήλων.
τοῖς οὖν ἄρχουσι καὶ πρῶτον καὶ μάλιστα
παραγγέλλει ὁ θεός, ὅπως μηδενὸς οὕτω φύλακες
ἀγαθοὶ ἔσονται μηδ' οὕτω σφόδρα φυλάξουσι
μηδὲν ὡς τοὺς ἐκγόνους, ὅ τι αὐτοῖς τούτων ἐν
ταῖς ψυχαῖς παραμέμικται, καὶ ἐάντε σφέτερος
ἔκγονος ὑπόχαλκος ἢ ὑποσίδηρος γένηται,
μηδενὶ | τρόπῳ κατελεήσουσιν, ἀλλὰ τὴν τῇ C
φύσει προσήκουσαν τιμὴν ἀποδόντες ὤσουσιν
εἰς δημιουργοὺς ἢ εἰς γεωργούς, καὶ ἂν αὖ ἐκ
τούτων τις ὑπόχρυσος ἢ ὑπάργυρος φυῇ, τιμή-
σαντες ἀνάξουσι τοὺς μὲν εἰς φυλακήν, τοὺς
δὲ εἰς ἐπικουρίαν, ὡς χρησμοῦ ὄντος τότε τὴν
πόλιν διαφθαρῆναι, ὅταν αὐτὴν ὁ σίδηρος ἢ ὁ
χαλκὸς φυλάξῃ. τοῦτον οὖν τὸν μῦθον ὅπως
ἂν πεισθεῖεν, ἔχεις τινὰ μηχανήν; Οὐδαμῶς,
ἔφη, ὅπως γ' ἂν αὐτοὶ οὗτοι· | ὅπως μεντἂν οἱ D

with metal in your composition, by which ye are ranked.

415 τούτων ὑεῖς καὶ οἱ ἔπειτα οἵ τ᾿ ἄλλοι ἄνθρωποι οἱ ὕστερον. Ἀλλὰ καὶ τοῦτο, ἦν δ᾿ ἐγώ, εὖ ἂν ἔχοι πρὸς τὸ μᾶλλον αὐτοὺς τῆς πόλεώς τε καὶ ἀλλήλων κήδεσθαι· σχεδὸν γάρ τι μανθάνω ὃ λέγεις.

The "Guardians" in camp.

Καὶ τοῦτο μὲν δὴ ἕξει ὅπῃ ἂν αὐτὸ ἡ φήμη ἀγάγῃ· ἡμεῖς δὲ τούτους τοὺς γηγενεῖς ὁπλίσαντες προάγωμεν ἡγουμένων τῶν ἀρχόντων. ἐλθόντες δὲ θεασάσθων τῆς πόλεως ὅπου κάλλιστον στρατο-
E πεδεύσασθαι, ὅθεν τούς τε ἔνδον | μάλιστ᾿ ἂν κατέχοιεν, εἴ τις μὴ ἐθέλοι τοῖς νόμοις πείθεσθαι, τούς τε ἔξωθεν ἀπαμύνοιεν, εἰ πολέμιος ὥσπερ λύκος ἐπὶ ποίμνην τις ἴοι· στρατοπεδευσάμενοι δέ, θύσαντες οἷς χρή, εὐνὰς ποιησάσθων· ἢ πῶς; Οὕτως, ἔφη. Οὐκοῦν τοιαύτας, οἵας χειμῶνός τε στέγειν καὶ θέρους ἱκανὰς εἶναι; Πῶς γὰρ οὐχί; οἰκήσεις γάρ, ἔφη, δοκεῖς μοι λέγειν. Ναί, ἦν δ᾿ ἐγώ, στρατιω-
416 τικάς γε, ἀλλ᾿ οὐ χρηματιστικάς. | Πῶς, ἔφη, αὖ τοῦτο λέγεις διαφέρειν ἐκείνου; Ἐγώ σοι, ἦν δ᾿ ἐγώ, πειράσομαι εἰπεῖν. δεινότατον γάρ που πάντων καὶ αἴσχιστον ποιμέσι τοιούτους γε καὶ οὕτω τρέφειν κύνας ἐπικούρους ποιμνίων, ὥστε ὑπὸ ἀκολασίας ἢ λιμοῦ ἤ τινος ἄλλου κακοῦ ἔθους αὐτοὺς τοὺς κύνας ἐπιχειρῆσαι τοῖς προβάτοις κακουργεῖν καὶ ἀντὶ κυνῶν λύκοις ὁμοιωθῆναι. Δεινόν, ἦ δ᾿ ὅς· πῶς δ᾿
B οὔ; Οὐκοῦν φυλακτέον | παντὶ τρόπῳ, μὴ τοιοῦτον ἡμῖν οἱ ἐπίκουροι ποιήσωσι πρὸς τοὺς πολίτας, ἐπειδὴ αὐτῶν κρείττους εἰσίν, ἀντὶ

ξυμμάχων εὐμενῶν δεσπόταις ἀγρίοις ἀφομοιω- 416
θῶσιν; Φυλακτέον, ἔφη. Οὐκοῦν τὴν μεγίστην
τῆς εὐλαβείας παρεσκευασμένοι ἂν εἶεν, εἰ τῷ
ὄντι καλῶς πεπαιδευμένοι εἰσίν; Ἀλλὰ μὴν
εἰσίν γ', ἔφη. καὶ ἐγὼ εἶπον, Τοῦτο μὲν οὐκ
ἄξιον διισχυρίζεσθαι, ὦ φίλε Γλαύκων· ὃ
μέντοι ἄρτι ἐλέγομεν, ἄξιον, ὅτι δεῖ αὐτοὺς τῆς
ὀρθῆς | τυχεῖν παιδείας, ἥτις ποτέ ἐστιν, εἰ C
μέλλουσι τὸ μέγιστον ἔχειν πρὸς τὸ ἥμεροι
εἶναι αὑτοῖς τε καὶ τοῖς φυλαττομένοις ὑπ'
αὐτῶν. Καὶ ὀρθῶς γε, ἦ δ' ὅς. Πρὸς τοίνυν
τῇ παιδείᾳ ταύτῃ φαίη ἄν τις νοῦν ἔχων δεῖν
καὶ τὰς οἰκήσεις καὶ τὴν ἄλλην οὐσίαν τοι-
αύτην αὐτοῖς παρεσκευάσθαι, ἥτις μήτε τοὺς
φύλακας ὡς ἀρίστους εἶναι παύσοι αὐτούς,
κακουργεῖν τε μὴ ἐπαροῖ περὶ τοὺς ἄλλους
| πολίτας. Καὶ ἀληθῶς γε φήσει. Ὅρα δή, D
εἶπον ἐγώ, εἰ τοιόνδε τινὰ τρόπον δεῖ αὐτοὺς ζῆν
τε καὶ οἰκεῖν, εἰ μέλλουσι τοιοῦτοι ἔσεσθαι·
πρῶτον μὲν οὐσίαν κεκτημένον μηδεμίαν μηδένα
ἰδίαν, ἂν μὴ πᾶσα ἀνάγκη· ἔπειτα
οἴκησιν καὶ ταμιεῖον μηδενὶ εἶναι

They are to possess no property—

μηδὲν τοιοῦτον, εἰς ὃ οὐ πᾶς ὁ βου-
λόμενος εἴσεισι· τὰ δ' ἐπιτήδεια, ὅσων δέονται
ἄνδρες ἀθληταὶ πολέμου σώφρονές τε καὶ
ἀνδρεῖοι, ταξαμένους | παρὰ τῶν ἄλλων πολι- E
τῶν δέχεσθαι μισθὸν τῆς φυλακῆς τοσοῦτον,
ὅσον μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτὸν
μήτε ἐνδεῖν· φοιτῶντας δὲ εἰς ξυσσίτια ὥσπερ
ἐστρατοπεδευμένους κοινῇ ζῆν· χρυσίον δὲ καὶ
ἀργύριον εἰπεῖν αὐτοῖς ὅτι θεῖον παρὰ θεῶν

Gold and silver are within them.

416 ἀεὶ ἐν τῇ ψυχῇ ἔχουσι καὶ οὐδὲν προσ-
δέονται τοῦ ἀνθρωπείου, οὐδὲ ὅσια
τὴν ἐκείνου κτῆσιν τῇ τοῦ θνητοῦ χρυσοῦ κτήσει
ξυμμιγνύντας μιαίνειν, διότι πολλὰ καὶ ἀνόσια
417 περὶ τὸ τῶν | πολλῶν νόμισμα γέγονεν, τὸ
παρ' ἐκείνοις δὲ ἀκήρατον· ἀλλὰ μόνοις αὐτοῖς
τῶν ἐν τῇ πόλει μεταχειρίζεσθαι καὶ ἅπτεσθαι
χρυσοῦ καὶ ἀργύρου οὐ θέμις, οὐδ' ὑπὸ τὸν
αὐτὸν ὄροφον ἰέναι οὐδὲ περιάψασθαι οὐδὲ
πίνειν ἐξ ἀργύρου ἢ χρυσοῦ. καὶ οὕτω μὲν
σῴζοιντό τ' ἂν καὶ σῴζοιεν τὴν πόλιν· ὁπότε
δ' αὐτοὶ γῆν τε ἰδίαν καὶ οἰκίας καὶ νομίσματα
κτήσονται, οἰκονόμοι μὲν καὶ γεωργοὶ ἀντὶ
φυλάκων ἔσονται, δεσπόται δ' ἐχθροὶ ἀντὶ
B ξυμμάχων | τῶν ἄλλων πολιτῶν γενήσονται,
μισοῦντες δὲ δὴ καὶ μισούμενοι καὶ ἐπιβουλεύ-
οντες καὶ ἐπιβουλευόμενοι διάξουσι πάντα τὸν
βίον, πολὺ πλείω καὶ μᾶλλον δεδιότες τοὺς
ἔνδον ἢ τοὺς ἔξωθεν πολεμίους, θέοντες ἤδη
τότε ἐγγύτατα ὀλέθρου αὐτοί τε καὶ ἡ ἄλλη
πόλις. τούτων οὖν πάντων ἕνεκα, ἦν δ' ἐγώ,
φῶμεν οὕτω δεῖν κατεσκευάσθαι τοὺς φύλακας
οἰκήσεώς τε πέρι καὶ τῶν ἄλλων, καὶ ταῦτα
νομοθετήσωμεν, ἢ μή; Πάνυ γε, ἦ δ' ὃς ὁ
Γλαύκων.

V

Philosophers must be our Kings.

472 Οὐκοῦν, ἦν δ' ἐγώ, πρῶτον μὲν τόδε χρὴ
B ἀναμνησθῆναι, ὅτι ἡμεῖς ζητοῦντες δικαιοσύνην

Ideal Justice our theme, not whether it can be realized.

472 οἷόν ἐστι καὶ ἀδικίαν δεῦρο ἥκομεν. Χρή· ἀλλὰ τί τοῦτο; ἔφη. Οὐδέν· ἀλλ' ἐὰν εὕρωμεν οἷόν ἐστι δικαιοσύνη, ἆρα καὶ ἄνδρα τὸν δίκαιον ἀξιώσομεν μηδὲν δεῖν αὐτῆς ἐκείνης διαφέρειν, ἀλλὰ πανταχῇ τοιοῦτον εἶναι, οἷον δικαιοσύνη | C ἐστίν, ἢ ἀγαπήσομεν, ἐὰν ὅτι ἐγγύτατα αὐτῆς ᾖ καὶ πλεῖστα τῶν ἄλλων ἐκείνης μετέχῃ; Οὕτως, ἔφη· ἀγαπήσομεν. Παραδείγματος ἄρα ἕνεκα, ἦν δ' ἐγώ, ἐζητοῦμεν αὐτό τε δικαιοσύνην οἷόν ἐστι, καὶ ἄνδρα τὸν τελέως δίκαιον (εἰ γένοιτο), καὶ οἷος ἂν εἴη γενόμενος, καὶ ἀδικίαν αὖ καὶ τὸν ἀδικώτατον, ἵνα εἰς ἐκείνους ἀποβλέποντες, οἷοι ἂν ἡμῖν φαίνωνται εὐδαιμονίας τε πέρι καὶ τοῦ ἐναντίου, ἀναγκαζώμεθα καὶ περὶ ἡμῶν αὐτῶν ὁμολογεῖν, ὃς ἂν | D ἐκείνοις ὅτι ὁμοιότατος ᾖ, τὴν ἐκείνοις μοῖραν ὁμοιοτάτην ἕξειν, ἀλλ' οὐ τούτου ἕνεκα, ἵν' ἀποδείξωμεν ὡς δυνατὰ ταῦτα γίγνεσθαι. Τοῦτο μέν, ἔφη, ἀληθὲς λέγεις. Οἴει ἂν οὖν ἧττόν τι ἀγαθὸν ζωγράφον εἶναι, ὃς ἂν γράψας παράδειγμα, οἷον ἂν εἴη ὁ κάλλιστος ἄνθρωπος, καὶ πάντα εἰς τὸ γράμμα ἱκανῶς ἀποδοὺς μὴ ἔχῃ ἀποδεῖξαι ὡς καὶ δυνατὸν γενέσθαι τοιοῦτον ἄνδρα; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. Τί οὖν; οὐ καὶ ἡμεῖς, φαμέν, παράδειγμα | E ἐποιοῦμεν λόγῳ ἀγαθῆς πόλεως; Πάνυ γε. Ἧττόν τι οὖν οἴει ἡμᾶς εὖ λέγειν τούτου ἕνεκα, ἐὰν μὴ ἔχωμεν ἀποδεῖξαι ὡς δυνατὸν οὕτω πόλιν οἰκῆσαι ὡς ἐλέγετο; Οὐ δῆτα, ἔφη. Τὸ μὲν τοίνυν ἀληθές, ἦν δ' ἐγώ, οὕτω· εἰ δὲ δὴ καὶ τοῦτο προθυμηθῆναι δεῖ

472 σὴν χάριν, ἀποδεῖξαι, πῇ μάλιστα καὶ κατὰ τί δυνατώτατ᾽ ἂν εἴη, πάλιν μοι πρὸς τὴν τοιαύτην ἀπόδειξιν τὰ αὐτὰ διομολόγησαι. Τὰ
473 ποῖα; Ἆρ᾽ οἷόντέ τι | πραχθῆναι ὡς λέγεται, ἢ φύσιν ἔχει πρᾶξιν λέξεως ἧττον ἀληθείας ἐφάπτεσθαι, κἂν εἰ μή τῳ δοκεῖ; ἀλλὰ σὺ πότερον ὁμολογεῖς οὕτως ἢ οὔ; Ὁμολογῶ, ἔφη. Τοῦτο μὲν δὴ μὴ ἀνάγκαζέ με, οἷα τῷ λόγῳ διήλθομεν, τοιαῦτα παντάπασι καὶ τῷ ἔργῳ δεῖν γιγνόμενα ἀποφαίνειν· ἀλλ᾽, ἐὰν οἷοίτε γενώμεθα εὑρεῖν ὡς ἂν ἐγγύτατα τῶν εἰρημένων πόλις οἰκήσειεν, φάναι ἡμᾶς ἐξηυρηκέναι ὡς δυνατὰ ταῦτα γίγνεσθαι,
B ἃ σὺ ἐπιτάττεις. | ἢ οὐκ ἀγαπήσεις τούτων τυγχάνων; ἐγὼ μὲν γὰρ ἂν ἀγαπῴην. Καὶ γὰρ ἐγώ, ἔφη.

Approximation all that is to be hoped for.

Τὸ δὲ δὴ μετὰ τοῦτο, ὡς ἔοικε, πειρώμεθα ζητεῖν τε καὶ ἀποδεικνύναι, τί ποτε νῦν κακῶς ἐν ταῖς πόλεσι πράττεται, δι᾽ ὃ οὐχ οὕτως οἰκοῦνται, καὶ τίνος ἂν σμικροτάτου μεταβαλόντος ἔλθοι εἰς τοῦτον τὸν τρόπον τῆς πολιτείας πόλις, μάλιστα μὲν ἑνός, εἰ δὲ μή, δυοῖν, εἰ δὲ μή, ὅτι ὀλιγίστων τὸν ἀριθμὸν καὶ σμικροτάτων τὴν δύναμιν. Παντά-
C πασι | μὲν οὖν, ἔφη. Ἑνὸς μὲν τοίνυν, ἦν δ᾽ ἐγώ, μεταβαλόντος δοκοῦμέν μοι ἔχειν δεῖξαι ὅτι μεταπέσοι ἄν, οὐ μέντοι σμικροῦ γε οὐδὲ ῥᾳδίου, δυνατοῦ δέ. Τίνος; ἔφη. Ἐπ᾽ αὐτὸ δή, ἦν δ᾽ ἐγώ, εἶμι, ὃ τῷ μεγίστῳ προῃκάζομεν κύματι· εἰρήσεται δ᾽ οὖν, εἰ καὶ μέλλει γέλωτί τε ἀτεχνῶς ὥσπερ κῦμα ἐκγελῶν καὶ ἀδοξίᾳ

How best attained?

κατακλύσειν. σκόπει δὲ ὃ μέλλω λέγειν. Λέγε, 473 ἔφη. Ἐὰν μή, ἦν δ' ἐγώ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς | πόλεσιν D ἢ οἱ βασιλῆς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς, καὶ τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, τῶν δὲ νῦν πορευομένων χωρὶς ἐφ' ἑκάτερον αἱ πολλαὶ φύσεις ἐξ ἀνάγκης ἀποκλεισθῶσιν, οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσι, δοκῶ δ' οὐδὲ τῷ ἀνθρωπίνῳ γένει, οὐδὲ αὕτη ἡ πολιτεία μή ποτε πρότερον φυῇ | τε εἰς τὸ E δυνατὸν καὶ φῶς ἡλίου ἴδῃ, ἣν νῦν λόγῳ διεληλύθαμεν. ἀλλὰ τοῦτό ἐστιν, ὃ ἐμοὶ πάλαι ὄκνον ἐντίθησι λέγειν, ὁρῶντι ὡς πολὺ παρὰ δόξαν ῥηθήσεται· χαλεπὸν γὰρ ἰδεῖν ὅτι οὐκ ἂν ἄλλῃ τις εὐδαιμονήσειεν οὔτε ἰδίᾳ οὔτε δημοσίᾳ. καὶ ὅς, Ὦ Σώκρατες, ἔφη, τοιοῦτον ἐκβέβληκας ῥῆμά τε καὶ λόγον, ὃν εἰπὼν ἡγοῦ ἐπὶ σὲ πάνυ πολλούς τε καὶ οὐ φαύλους νῦν οὕτως, οἷον ῥίψαντας τὰ ἱμάτια, | γυμνούς, λα- 474 βόντας ὅ τι ἑκάστῳ παρέτυχεν ὅπλον, θεῖν διατεταμένους ὡς θαυμάσια ἐργασομένους· οὓς εἰ μὴ ἀμυνεῖ τῷ λόγῳ καὶ ἐκφεύξει, τῷ ὄντι τωθαζόμενος δώσεις δίκην. Οὐκοῦν σύ μοι, ἦν δ' ἐγώ, τούτων αἴτιος; Καλῶς γ', ἔφη, ἐγὼ ποιῶν· ἀλλά τοί σε οὐ προδώσω, ἀλλ' ἀμυνῶ οἷς δύναμαι· δύναμαι δὲ εὐνοίᾳ τε καὶ τῷ παρακελεύεσθαι, καὶ ἴσως ἂν ἄλλου του ἐμμελέστερόν σοι | ἀπο- B

If philosophers be kings,—

a saying Socrates will be stoned for.

474 κρινοίμην. ἀλλ' ὡς ἔχων τοιοῦτον βοηθὸν πειρῶ τοῖς ἀπιστοῦσιν ἐνδείξασθαι ὅτι ἔχει ᾗ σὺ λέγεις. Πειρατέον, ἦν δ' ἐγώ, ἐπειδὴ καὶ σὺ οὕτω μεγάλην ξυμμαχίαν παρέχει.

VI

How Democracy is the Arch-Sophist in Corruption.

492 Ἣν τοίνυν ἔθεμεν | τοῦ φιλοσόφου φύσιν, ἂν μέν, οἶμαι, μαθήσεως προσηκούσης τύχῃ, εἰς πᾶσαν ἀρετὴν ἀνάγκη αὐξανομένην ἀφικνεῖσθαι, ἐὰν δὲ μὴ ἐν προσηκούσῃ σπαρεῖσά τε καὶ φυτευθεῖσα τρέφηται, εἰς πάντα τἀναντία αὖ,—ἐὰν μή τις αὐτῇ βοηθήσας θεῶν τύχῃ. ἢ καὶ σὺ ἡγεῖ, ὥσπερ οἱ πολλοί, διαφθειρομένους τινὰς εἶναι ὑπὸ σοφιστῶν νέους, διαφθείροντας δέ τινας σοφιστὰς ἰδιωτικούς, ὅ τι καὶ ἄξιον λόγου, ἀλλ' οὐκ αὐτοὺς τοὺς ταῦτα λέγον-
B τας μεγίστους μὲν | εἶναι σοφιστάς, παιδεύειν δὲ τελεώτατα καὶ ἀπεργάζεσθαι οἵους βούλονται εἶναι καὶ νέους καὶ πρεσβυτέρους καὶ ἄνδρας καὶ γυναῖκας; Πότε δή; ἦ δ' ὅς. Ὅταν, εἶπον, ξυγκαθεζόμενοι ἀθρόοι | <οἱ> πολλοὶ εἰς ἐκκλησίας ἢ εἰς δικαστήρια ἢ θέατρα ἢ στρατόπεδα ἤ τινα ἄλλον κοινὸν πλήθους ξύλλογον ξὺν πολλῷ θορύβῳ τὰ μὲν ψέγωσι τῶν λεγομένων ἢ πραττομένων, τὰ δὲ ἐπαινῶσιν, ὑπερβαλλόντως ἑκάτερα, καὶ ἐκβοῶντες καὶ
C κροτοῦντες, | πρὸς δ' αὐτοῖς αἵ τε πέτραι καὶ

ὁ τόπος ἐν ᾧ ἂν ὦσιν ἐπηχοῦντες διπλάσιον 492
θόρυβον παρέχωσι τοῦ ψόγου καὶ ἐπαίνου. ἐν
δὴ τῷ τοιούτῳ τὸν νέον, τὸ λεγόμενον, τίνα
οἴει καρδίαν ἴσχειν; ἢ ποίαν ἂν αὐτῷ παι-
δείαν ἰδιωτικὴν ἀνθέξειν, ἣν οὐ κατακλυσθεῖσαν
ὑπὸ τοῦ τοιούτου ψόγου ἢ ἐπαίνου οἰχήσε-
σθαι φερομένην κατὰ ῥοῦν, ᾗ ἂν οὗτος φέρῃ, καὶ
φήσειν τε τὰ αὐτὰ τούτοις καλὰ καὶ αἰσχρὰ
εἶναι, καὶ ἐπιτηδεύσειν | ἅπερ ἂν οὗτοι, καὶ ἔσε- D
σθαι τοιοῦτον; Πολλή, ἦ δ' ὅς, ὦ Σώκρατες,
ἀνάγκη.

Καὶ μήν, ἦν δ' ἐγώ, οὔπω τὴν μεγίστην
ἀνάγκην εἰρήκαμεν. Ποίαν; ἔφη. Ἣν ἔργῳ
προστιθέασι, λόγῳ μὴ πείθοντες, οὗτοι οἱ
παιδευταί τε καὶ σοφισταί. ἢ οὐκ οἶσθα,
ὅτι τὸν μὴ πειθόμενον ἀτιμίαις τε καὶ χρή-
μασι καὶ θανάτοις κολάζουσι; Καὶ μάλα, ἔφη,
σφόδρα. Τίνα οὖν ἄλλον σοφιστὴν οἴει ἢ
ποίους ἰδιωτικοὺς λόγους ἐναντία τούτοις |
τείνοντας κρατήσειν; Οἶμαι μὲν οὐδένα, ἦ δ' E
ὅς. Οὐ γάρ, ἦν δ' ἐγώ, ἀλλὰ καὶ τὸ ἐπι-
χειρεῖν πολλὴ ἄνοια. οὔτε γὰρ γίγνεται οὔτε
γέγονεν οὐδὲ οὖν μὴ γένηται ἀλλοῖον ἦθος πρὸς
ἀρετὴν παρὰ τὴν τούτων παιδείαν πεπαιδευμένον,
ἀνθρώπειον, ὦ ἑταῖρε· θεῖον μέντοι κατὰ τὴν
παροιμίαν ἐξαιρῶμεν λόγου. εὖ γὰρ χρὴ εἰδέναι,
ὅ τι περ ἂν σωθῇ τε καὶ γένηται οἷον δεῖ ἐν
τοιαύτῃ καταστάσει πολιτειῶν, | θεοῦ μοῖραν 493
αὐτὸ σῶσαι λέγων οὐ κακῶς ἐρεῖς. Οὐδ' ἐμοὶ
ἄλλως, ἔφη, δοκεῖ. Ἔτι τοίνυν σοι, ἦν δ' ἐγώ,
πρὸς τούτοις καὶ τόδε δοξάτω. Τὸ ποῖον;

Professional sophists do but humour the great beast.

493 Ἕκαστος τῶν μισθαρνούντων ἰδιωτῶν, οὓς δὴ οὗτοι σοφιστὰς καλοῦσι καὶ ἀντιτέχνους ἡγοῦνται, μὴ ἄλλα παιδεύειν ἢ ταῦτα τὰ τῶν πολλῶν δόγματα, ἃ δοξάζουσιν ὅταν ἀθροισθῶσιν, καὶ σοφίαν ταύτην καλεῖν· οἷόνπερ ἂν εἰ θρέμματος μεγάλου καὶ ἰσχυροῦ τρεφομένου τὰς ὀργάς τις
B καὶ ἐπιθυμίας κατεμάνθανεν, | ὅπῃ τε προσελθεῖν χρὴ καὶ ὅπῃ ἅψασθαι αὐτοῦ, καὶ ὁπότε χαλεπώτατον ἢ πραότατον καὶ ἐκ τίνων γίγνεται, καὶ φωνὰς δὴ ἐφ᾽ οἷς ἑκάστας εἴωθεν φθέγγεσθαι, καὶ οἵας αὖ ἄλλου φθεγγομένου ἡμεροῦταί τε καὶ ἀγριαίνει, καταμαθὼν δὲ ταῦτα πάντα ξυνουσίᾳ τε καὶ χρόνου τριβῇ σοφίαν τε καλέσειεν καὶ ὡς τέχνην συστησάμενος ἐπὶ διδασκαλίαν τρέποιτο, μηδὲν εἰδὼς τῇ ἀληθείᾳ τούτων τῶν δογμάτων τε καὶ ἐπιθυμιῶν, ὅ τι καλὸν ἢ αἰσχρὸν ἢ ἀγαθὸν ἢ κακὸν ἢ δίκαιον ἢ ἄδικον, |
C ὀνομάζοι δὲ πάντα ταῦτα ἐπὶ ταῖς τοῦ μεγάλου ζῴου δόξαις, οἷς μὲν χαίροι ἐκεῖνο ἀγαθὰ καλῶν, οἷς δὲ ἄχθοιτο κακά, ἄλλον δὲ μηδένα ἔχοι λόγον περὶ αὐτῶν, ἀλλὰ τἀναγκαῖα δίκαια καλοῖ καὶ καλά, τὴν δὲ τοῦ ἀναγκαίου καὶ ἀγαθοῦ φύσιν, ὅσον διαφέρει τῷ ὄντι, μήτε ἑωρακὼς εἴη μήτε ἄλλῳ δυνατὸς δεῖξαι. τοιοῦτος δὴ ὢν πρὸς Διὸς οὐκ ἄτοπος ἄν σοι δοκεῖ εἶναι παιδευτής; Ἔμοιγ᾽, ἔφη. Ἦ οὖν τι τούτου δοκεῖ διαφέρειν ὁ τὴν τῶν πολλῶν καὶ παν-
D τοδαπῶν | ξυνιόντων ὀργὴν καὶ ἡδονὰς κατανενοηκέναι σοφίαν ἡγούμενος, εἴτ᾽ ἐν γραφικῇ εἴτ᾽ ἐν μουσικῇ εἴτε δὴ ἐν πολιτικῇ; ὅ τι μὲν

γὰρ ἄν τις τούτοις ὁμιλῇ ἐπιδεικνύμενος, ἢ 493
ποίησιν ἤ τινα ἄλλην δημιουργίαν ἢ πόλει
διακονίαν, κυρίους αὑτοῦ ποιῶν τοὺς πολλοὺς
πέρα τῶν ἀναγκαίων, ἡ Διομηδεία λεγομένη
ἀνάγκη ποιεῖν αὐτῷ ταῦτα ἃ ἂν οὗτοι ἐπαινῶ-
σιν· ὡς δὲ καὶ ἀγαθὰ καὶ καλὰ ταῦτα τῇ
ἀληθείᾳ, ἤδη πώποτέ του ἤκουσας αὐτῶν λόγον
διδόντος οὐ καταγέλαστον; Οἶμαι δέ γε, ἦ δ'
ὅς, | οὐδ' ἀκούσομαι. E

Again the Philosopher-King.

Ἐλέγομεν, ὑπὸ τἀληθοῦς ἠναγκασμένοι, ὅτι 499
οὔτε πόλις οὔτε πολιτεία οὐδέ γ' ἀνὴρ ὁμοίως B
μήποτε γένηται τέλεος, πρὶν ἂν τοῖς φιλοσόφοις
τούτοις τοῖς ὀλίγοις καὶ οὐ πονηροῖς, ἀχρήστοις
δὲ νῦν κεκλημένοις, ἀνάγκη τις ἐκ τύχης περι-
βάλῃ, εἴτε βούλονται εἴτε μή, πόλεως ἐπι-
μεληθῆναι καὶ τῇ πόλει κατηκόῳ γενέσθαι, ἢ
τῶν νῦν ἐν δυναστείαις ἢ βασιλείαις ὄντων
ὑέσιν ἢ αὐτοῖς ἔκ τινος θείας ἐπιπνοίας |
ἀληθινῆς φιλοσοφίας ἀληθινὸς ἔρως ἐμπέσῃ. C

How the Philosopher would paint the State.

Οὐδὲ γάρ που, ὦ Ἀδείμαντε, σχολὴ τῷ γε 500
ὡς ἀληθῶς πρὸς τοῖς οὖσι τὴν
διάνοιαν ἔχοντι κάτω βλέπειν εἰς
ἀνθρώπων | πραγματείας, καὶ μαχόμενον αὐτοῖς C
φθόνου τε καὶ δυσμενείας ἐμπίμπλασθαι, ἀλλ'
εἰς τεταγμένα ἄττα καὶ κατὰ ταὐτὰ ἀεὶ ἔχοντα

His previous training.

500 ὁρῶντας καὶ θεωμένους οὔτ᾽ ἀδικοῦντα οὔτ᾽
ἀδικούμενα ὑπ᾽ ἀλλήλων, κόσμῳ δὲ πάντα καὶ
κατὰ λόγον ἔχοντα, ταῦτα μιμεῖσθαί τε καὶ ὅτι
μάλιστα ἀφομοιοῦσθαι. ἢ οἴει τινὰ μηχανὴν
εἶναι, ὅτῳ τις ὁμιλεῖ ἀγάμενος, μὴ μιμεῖσθαι
ἐκεῖνο; Ἀδύνατον, ἔφη. Θείῳ δὴ καὶ κοσμίῳ
D ὅ γε φιλόσοφος ὁμιλῶν κόσμιός | τε καὶ θεῖος
εἰς τὸ δυνατὸν ἀνθρώπῳ γίγνεται· διαβολὴ δ᾽
ἐν πᾶσι πολλή. Παντάπασι μὲν οὖν. Ἂν
οὖν τις, εἶπον, αὐτῷ ἀνάγκη γένηται, ἃ ἐκεῖ
ὁρᾷ, μελετῆσαι εἰς ἀνθρώπων ἤθη καὶ ἰδίᾳ καὶ
δημοσίᾳ τιθέναι καὶ μὴ μόνον ἑαυτὸν πλάττειν,
ἆρα κακὸν δημιουργὸν αὐτὸν οἴει γενήσεσθαι
σωφροσύνης τε καὶ δικαιοσύνης καὶ ξυμπάσης
τῆς δημοτικῆς ἀρετῆς; Ἥκιστά γε, ἦ δ᾽ ὅς.
Ἀλλ᾽ ἐὰν δὴ αἴσθωνται οἱ πολλοὶ ὅτι ἀληθῆ
περὶ αὐτοῦ λέγομεν, | χαλεπανοῦσι δὴ τοῖς
E φιλοσόφοις καὶ ἀπιστήσουσιν ἡμῖν λέγουσιν
ὡς οὐκ ἄν ποτε ἄλλως εὐδαιμονήσειε πόλις, εἰ
μὴ αὐτὴν διαγράψειαν οἱ τῷ θείῳ παραδείγματι
χρώμενοι ζωγράφοι; Οὐ χαλεπανοῦσιν, ἦ δ᾽
501 ὅς, ἐάνπερ αἴσθωνται. ἀλλὰ δὴ τίνα | λέγεις
τρόπον τῆς διαγραφῆς; Λαβόντες, ἦν δ᾽ ἐγώ,
ὥσπερ πίνακα πόλιν τε καὶ ἤθη ἀνθρώπων,

His clean canvas.

πρῶτον μὲν καθαρὰν ποιήσειαν ἄν· ὃ
οὐ πάνυ ῥᾴδιον· ἀλλ᾽ οὖν οἶσθ᾽ ὅτι
τούτῳ ἂν εὐθὺς τῶν ἄλλων διενέγκοιεν, τῷ
μήτε ἰδιώτου μήτε πόλεως ἐθελῆσαι ἂν ἅψα-
σθαι μηδὲ γράφειν νόμους, πρὶν ἢ παραλαβεῖν
καθαρὰν ἢ αὐτοὶ ποιῆσαι. Καὶ ὀρθῶς γ᾽, ἔφη.
Οὐκοῦν μετὰ ταῦτα οἴει ὑπογράψασθαι ἂν τὸ

σχῆμα τῆς πολιτείας; Τί μήν; Ἔπειτα, | οἶμαι, 501
ἀπεργαζόμενοι πυκνὰ ἂν ἑκατέρωσε ἀποβλέποιεν, B
πρός τε τὸ φύσει δίκαιον καὶ καλὸν
καὶ σῶφρον καὶ πάντα τὰ τοιαῦτα
καὶ πρὸς ἐκεῖνο αὖ ὃ ἐν τοῖς ἀνθρώ-
ποις ἐμποιοῖεν, ξυμμιγνύντες τε καὶ κεραννύντες
ἐκ τῶν ἐπιτηδευμάτων τὸ ἀνδρείκελον, ἀπ᾽ ἐκεί-
νου τεκμαιρόμενοι, ὃ δὴ καὶ Ὅμηρος ἐκάλεσεν
ἐν τοῖς ἀνθρώποις ἐγγιγνόμενον θεοειδές τε καὶ
θεοείκελον. Ὀρθῶς, ἔφη. Καὶ τὸ μὲν ἄν,
οἶμαι, ἐξαλείφοιεν, τὸ δὲ πάλιν ἐγγράφοιεν, |
ἕως ὅτι μάλιστα ἀνθρώπεια ἤθη (εἰς ὅσον C
ἐνδέχεται) θεοφιλῆ ποιήσειαν. Καλλίστη γοῦν
ἄν, ἔφη, ἡ γραφὴ γένοιτο. Ἆρ᾽ οὖν, ἦν δ᾽
ἐγώ, πείθομέν πῃ ἐκείνους, οὓς δια-
τεταμένους ἐφ᾽ ἡμᾶς ἔφησθα ἰέναι,
ὡς τοιοῦτός ἐστι πολιτειῶν ζωγράφος, ὃν τότ᾽
ἐπῃνοῦμεν πρὸς αὐτούς, δι᾽ ὃν ἐκεῖνοι ἐχαλέ-
παινον, ὅτι τὰς πόλεις αὐτῷ παρεδίδομεν, καί
τι μᾶλλον αὐτὸ νῦν ἀκούοντες πραΰνονται;
Καὶ πολύ γε, ἦ δ᾽ ὅς, εἰ σωφρονοῦσιν. Πῇ |
γὰρ δὴ ἕξουσιν ἀμφισβητῆσαι; πότερον μὴ D
τοῦ ὄντος τε καὶ ἀληθείας ἐραστὰς εἶναι τοὺς
φιλοσόφους; Ἄτοπον μεντἄν, ἔφη, εἴη. Ἀλλὰ
μὴ τὴν φύσιν αὐτῶν οἰκείαν εἶναι τοῦ ἀρίστου,
ἣν ἡμεῖς διήλθομεν; Οὐδὲ τοῦτο. Τί δέ; τὴν
τοιαύτην τυχοῦσαν τῶν προσηκόντων ἐπιτηδευ-
μάτων οὐκ ἀγαθὴν τελέως ἔσεσθαι καὶ φιλό-
σοφον εἴπερ τινὰ ἄλλην; ἢ ἐκείνους φήσειν
μᾶλλον, οὓς ἡμεῖς ἀφωρίσαμεν; | Οὐ δήπου. E
Ἔτι οὖν ἀγριανοῦσι λεγόντων ἡμῶν ὅτι, πρὶν ἂν

His constant reference to the ideal.

The result.

The philosopher must be the painter.

501 πόλεως τὸ φιλόσοφον γένος ἐγκρατὲς
γένηται, οὔτε πόλει οὔτε πολίταις
κακῶν παῦλα ἔσται, οὐδὲ ἡ πολιτεία,
ἣν μυθολογοῦμεν λόγῳ, ἔργῳ τέλος λήψεται;
Ἴσως, ἔφη, ἧττον. Βούλει οὖν, ἦν δ' ἐγώ, μὴ
ἧττον φῶμεν αὐτούς, ἀλλὰ παντάπασι πράους
502 γεγονέναι καὶ πεπεῖσθαι, ἵνα, | εἰ μή τι ἄλλο,
αἰσχυνθέντες ὁμολογήσωσιν; Πάνυ μὲν οὖν,
ἔφη.

VII

The Parable of the Cave.

Man is born as in an underground chamber.

514 Μετὰ ταῦτα δή, εἶπον, ἀπείκασον τοιούτῳ
πάθει τὴν ἡμετέραν φύσιν παιδείας
τε πέρι καὶ ἀπαιδευσίας. ἰδὲ γὰρ
ἀνθρώπους οἷον ἐν καταγείῳ οἰκήσει
σπηλαιώδει, ἀναπεπταμένην πρὸς τὸ φῶς τὴν
εἴσοδον ἐχούσῃ μακρὰν παρ' ἅπαν τὸ σπήλαιον,
ἐν ταύτῃ ἐκ παίδων ὄντας ἐν δεσμοῖς καὶ τὰ
σκέλη καὶ τοὺς αὐχένας, ὥστε μένειν τε αὐτοὺς
B εἴς τε | τὸ πρόσθεν μόνον ὁρᾶν, κύκλῳ δὲ τὰς
κεφαλὰς ὑπὸ τοῦ δεσμοῦ ἀδυνάτους περιάγειν,
φῶς δὲ αὐτοῖς πυρὸς ἄνωθεν καὶ πόρρωθεν
καόμενον ὄπισθεν αὐτῶν, μεταξὺ δὲ τοῦ πυρὸς
καὶ τῶν δεσμωτῶν ἐπάνω ὁδόν, παρ' ἣν ἰδὲ
τειχίον παρῳκοδομημένον, ὥσπερ τοῖς θαυματοποιοῖς πρὸ τῶν ἀνθρώπων πρόκειται τὰ παραφράγματα, ὑπὲρ ὧν τὰ θαύματα δεικνύασιν.
Ὁρῶ, ἔφη. Ὅρα τοίνυν παρὰ τοῦτο τὸ τειχίον
φέροντας ἀνθρώπους σκεύη τε παντοδαπὰ ὑπερέ-

515 χοντα τοῦ τειχίου καὶ ἀνδριάντας | καὶ ἄλλα ζῷα λίθινά τε καὶ ξύλινα καὶ παντοῖα εἰργασμένα, οἷον εἰκός, τοὺς μὲν φθεγγομένους, τοὺς δὲ σιγῶντας τῶν παραφερόντων. Ἄτοπον, ἔφη, λέγεις εἰκόνα καὶ δεσμώτας ἀτόπους. Ὁμοίους ἡμῖν, ἦν δ' ἐγώ· τοὺς γὰρ τοιούτους πρῶτον μὲν ἑαυτῶν τε καὶ ἀλλήλων οἴει ἄν τι ἑωρακέναι ἄλλο πλὴν τὰς σκιὰς τὰς ὑπὸ τοῦ πυρὸς εἰς τὸ καταντικρὺ αὐτῶν τοῦ σπηλαίου προσπιπτούσας; Πῶς γάρ, ἔφη, εἰ ἀκινήτους γε τὰς κεφαλὰς ἔχειν ἠναγκασμένοι | εἶεν διὰ βίου; Τί δὲ τῶν παραφερομένων; οὐ B ταὐτὸν τοῦτο; Τί μήν; Εἰ οὖν διαλέγεσθαι οἷοί τ' εἶεν πρὸς ἀλλήλους, οὐ ταῦτα ἡγεῖ ἂν τὰ παριόντα αὐτοὺς νομίζειν ὀνομάζειν, ἅπερ ὁρῷεν; Ἀνάγκη. Τί δ'; εἰ καὶ ἠχὼ τὸ δεσμωτήριον ἐκ τοῦ καταντικρὺ ἔχοι, ὁπότε τις τῶν παριόντων φθέγξαιτο, οἴει ἂν ἄλλο τι αὐτοὺς ἡγεῖσθαι τὸ φθεγγόμενον ἢ τὴν παριοῦσαν σκιάν; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. Παντάπασι δή, ἦν δ' ἐγώ, οἱ | τοιοῦτοι οὐκ C ἂν ἄλλο τι νομίζοιεν τὸ ἀληθὲς ἢ τὰς τῶν σκευαστῶν σκιάς. Πολλὴ ἀνάγκη, ἔφη. Σκόπει δή, ἦν δ' ἐγώ, αὐτῶν λύσιν τε καὶ ἴασιν τῶν δεσμῶν καὶ τῆς ἀφροσύνης, οἵα τις ἂν εἴη, εἰ φύσει τοιάδε ξυμβαίνοι αὐτοῖς· ὁπότε τις λυθείη καὶ ἀναγκάζοιτο ἐξαίφνης ἀνίστασθαί τε καὶ περιάγειν τὸν αὐχένα καὶ βαδίζειν καὶ πρὸς τὸ φῶς ἀναβλέπειν, πάντα δὲ ταῦτα ποιῶν ἀλγοῖ τε καὶ διὰ τὰς μαρμαρυγὰς ἀδυνατοῖ καθορᾶν ἐκεῖνα, ὧν |

He sees but shadow,

hears but echo,

which he takes for reality even after release,

515 τότε τὰς σκιὰς ἑώρα, τί ἂν οἴει αὐτὸν εἰπεῖν,
D εἴ τις αὐτῷ λέγοι ὅτι τότε μὲν ἑώρα φλυαρίας,
νῦν δὲ μᾶλλόν τι ἐγγυτέρω <ὢν> τοῦ ὄντος
καὶ πρὸς μᾶλλον ὄντα τετραμμένος ὀρθότερον
βλέποι, καὶ δὴ καὶ ἕκαστον τῶν παριόντων
δεικνὺς αὐτῷ ἀναγκάζοι ἐρωτῶν ἀποκρίνεσθαι
ὅ τι ἐστίν; οὐκ οἴει αὐτὸν ἀπορεῖν τε ἂν καὶ
ἡγεῖσθαι τὰ τότε ὁρώμενα ἀληθέστερα ἢ τὰ
νῦν δεικνύμενα; Πολύ γ', ἔφη. Οὐκοῦν κἂν εἰ
E πρὸς αὐτὸ τὸ φῶς ἀναγκάζοι αὐτὸν βλέπειν,
ἀλγεῖν τε ἂν τὰ ὄμματα καὶ φεύγειν ἀπο-
στρεφόμενον πρὸς ἐκεῖνα, ἃ δύναται καθορᾶν,
καὶ νομίζειν ταῦτα τῷ ὄντι σαφέστερα τῶν
δεικνυμένων; Οὕτως, ἔφη. Εἰ δέ, ἦν δ' ἐγώ,
ἐντεῦθεν ἕλκοι τις αὐτὸν βίᾳ διὰ τραχείας
τῆς ἀναβάσεως καὶ ἀνάντους, καὶ μὴ ἀνείη
πρὶν ἐξελκύσειεν εἰς τὸ τοῦ ἡλίου φῶς, ἆρα
οὐχὶ ὀδυνᾶσθαί τε ἂν καὶ ἀγανακτεῖν ἑλκόμενον,
516 καὶ ἐπειδὴ πρὸς τὸ φῶς | ἔλθοι, αὐγῆς ἂν
ἔχοντα τὰ ὄμματα μεστὰ ὁρᾶν οὐδ' ἂν ἓν
δύνασθαι τῶν νῦν λεγομένων ἀληθῶν; Οὐ γὰρ
ἄν, ἔφη, ἐξαίφνης γε. Συνηθείας δή, οἶμαι,
δέοιτ' ἄν, εἰ μέλλοι τὰ ἄνω ὄψεσθαι· καὶ

until in time, and painfully, seeing the light, he learns the truth,

πρῶτον μὲν τὰς σκιὰς ἂν ῥᾷστα
καθορῷ, καὶ μετὰ τοῦτο ἐν τοῖς
ὕδασι τά τε τῶν ἀνθρώπων καὶ τὰ
τῶν ἄλλων εἴδωλα, ὕστερον δὲ αὐτά·
ἐκ δὲ τούτων τὰ ἐν τῷ οὐρανῷ καὶ αὐτὸν τὸν
οὐρανὸν νύκτωρ ἂν ῥᾷον θεάσαιτο (προσβλέπων
B τὸ τῶν ἄστρων τε καὶ | σελήνης φῶς) ἢ μεθ'
ἡμέραν τὸν ἥλιόν τε καὶ τὸ τοῦ ἡλίου. Πῶς

δ' οὔ; Τελευταῖον δή, οἶμαι, τὸν ἥλιον, οὐκ ἐν 516
ὕδασιν οὐδ' ἐν ἀλλοτρίᾳ ἕδρᾳ φαντάσματα
αὐτοῦ, ἀλλ' αὐτὸν καθ' αὑτὸν ἐν τῇ αὑτοῦ
χώρᾳ δύναιτ' ἂν κατιδεῖν καὶ θεάσασθαι οἷός
ἐστιν. Ἀναγκαῖον, ἔφη. Καὶ μετὰ ταῦτ' ἂν
ἤδη συλλογίζοιτο περὶ αὐτοῦ ὅτι αὐτὸς ὁ τάς
τε ὥρας παρέχων καὶ ἐνιαυτοὺς καὶ πάντα
ἐπιτροπεύων τὰ ἐν τῷ ὁρωμένῳ τόπῳ, καὶ
ἐκείνων, ὧν | σφεῖς ἑώρων, τρόπον τινὰ πάν- C
των αἴτιος. Δῆλον, ἔφη, ὅτι ἐπὶ ταῦτα ἂν
μετ' ἐκεῖνα ἔλθοι. Τί οὖν; ἀναμιμνῃσκόμενον
and repents his delusions.
αὐτὸν τῆς πρώτης οἰκήσεως καὶ τῆς
ἐκεῖ σοφίας καὶ τῶν τότε ξυνδεσμω-
τῶν οὐκ ἂν οἴει αὑτὸν μὲν εὐδαιμονίζειν τῆς
μεταβολῆς, τοὺς δὲ ἐλεεῖν; Καὶ μάλα. Τιμαὶ
δὲ καὶ ἔπαινοι εἴ τινες αὐτοῖς ἦσαν τότε παρ'
ἀλλήλων καὶ γέρα τῷ ὀξύτατα καθορῶντι τὰ
παριόντα καὶ μνημονεύοντι μάλιστα, ὅσα τε
πρότερα αὐτῶν καὶ | ὕστερα εἰώθει καὶ ἅμα D
πορεύεσθαι, καὶ ἐκ τούτων δὴ δυνατώτατα
ἀπομαντευομένῳ τὸ μέλλον ἥξειν, δοκεῖς ἂν
αὐτὸν ἐπιθυμητικῶς αὐτῶν ἔχειν καὶ ζηλοῦν
τοὺς παρ' ἐκείνοις τιμωμένους τε καὶ ἐνδυνα-
στεύοντας, ἢ τὸ τοῦ Ὁμήρου ἂν πεπονθέναι καὶ
σφόδρα βούλεσθαι ἐπάρουρον ἐόντα θητευέ-
μεν ἄλλῳ ἀνδρὶ παρ' ἀκλήρῳ, καὶ ὁτιοῦν
ἂν πεπονθέναι μᾶλλον ἢ 'κεῖνά τε δοξάζειν καὶ
ἐκείνως ζῆν; Οὕτως, | ἔφη, ἔγωγε οἶμαι, πᾶν E
μᾶλλον πεπονθέναι ἂν δέξασθαι ἢ ζῆν ἐκείνως.
Καὶ τόδε δὴ ἐννόησον, ἦν δ' ἐγώ. εἰ πάλιν ὁ
τοιοῦτος καταβὰς εἰς τὸν αὐτὸν θᾶκον καθίζοιτο,

Returning to the cave, he would be thought to have lost his eyesight.

516 ἆρ᾽ οὐ σκότους ἂν πλέως σχοίη τοὺς ὀφθαλμούς, ἐξαίφνης ἥκων ἐκ τοῦ ἡλίου; Καὶ μάλα γ᾽, ἔφη. Τὰς δὲ δὴ σκιὰς ἐκείνας πάλιν εἰ δέοι αὐτὸν γνωματεύοντα διαμιλλᾶσθαι τοῖς ἀεὶ δεσμώταις
517 ἐκείνοις, ἐν ᾧ ἀμβλυώττει, | πρὶν καταστῆναι τὰ ὄμματα, οὗτος δ᾽ ὁ χρόνος μὴ πάνυ ὀλίγος εἴη τῆς συνηθείας, ἆρ᾽ οὐ γέλωτ᾽ ἂν παράσχοι, καὶ λέγοιτο ἂν περὶ αὐτοῦ, ὡς ἀναβὰς ἄνω διεφθαρμένος ἥκει τὰ ὄμματα, καὶ ὅτι οὐκ ἄξιον οὐδὲ πειρᾶσθαι ἄνω ἰέναι; καὶ τὸν ἐπιχειροῦντα λύειν τε καὶ ἀνάγειν, εἴ πως ἐν ταῖς χερσὶ δύναιντο λαβεῖν καὶ ἀποκτιννύναι, ἀποκτείνειαν ἄν; Σφόδρα γ᾽, ἔφη.

The application.

Ταύτην τοίνυν, ἦν δ᾽ ἐγώ, τὴν εἰκόνα, ὦ φίλε Γλαύκων, προσαπτέον ἅπασαν
B τοῖς ἔμπροσθεν | λεγομένοις, τὴν μὲν δι᾽ ὄψεως φαινομένην ἕδραν τῇ τοῦ δεσμωτηρίου οἰκήσει ἀφομοιοῦντα, τὸ δὲ τοῦ πυρὸς ἐν αὐτῇ φῶς τῇ τοῦ ἡλίου δυνάμει· τὴν δὲ ἄνω ἀνάβασιν καὶ θέαν τῶν ἄνω τὴν εἰς τὸν νοητὸν τόπον τῆς ψυχῆς ἄνοδον τιθεὶς οὐχ ἁμαρτήσει τῆς γ᾽ ἐμῆς ἐλπίδος, ἐπειδὴ ταύτης ἐπιθυμεῖς ἀκούειν· θεὸς δέ που οἶδεν, εἰ ἀληθὴς οὖσα τυγχάνει. τὰ δ᾽ οὖν ἐμοὶ φαινόμενα οὕτω φαίνεται· ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι, ὀφθεῖσα δὲ |
C συλλογιστέα εἶναι ὡς ἄρα πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία, ἔν τε ὁρατῷ φῶς καὶ τὸν τούτου κύριον τεκοῦσα, ἔν τε νοητῷ αὐτὴ κυρία ἀλήθειαν καὶ νοῦν παρασχομένη,

καὶ ὅτι δεῖ ταύτην ἰδεῖν τὸν μέλλοντα ἐμφρό- 517
νως πράξειν ἢ ἰδίᾳ ἢ δημοσίᾳ. Ξυνοίομαι, ἔφη, καὶ ἐγώ, ὅν γε δὴ τρόπον δύναμαι. Ἴθι τοίνυν, ἦν δ᾽ ἐγώ, καὶ τόδε ξυνοιήθητι καὶ μὴ θαυμάσῃς ὅτι οἱ ἐνταῦθα ἐλθόντες οὐκ ἐθέλουσιν τὰ τῶν ἀνθρώπων πράττειν, ἀλλ᾽ ἄνω ἀεὶ ἐπείγονται | αὐτῶν αἱ ψυχαὶ διατρίβειν· εἰκὸς D
γάρ που οὕτως, εἴπερ αὖ κατὰ τὴν προειρημένην εἰκόνα τοῦτ᾽ ἔχει. Εἰκὸς μέντοι, ἔφη. Τί δέ; τόδε οἴει τι θαυμαστόν, εἰ ἀπὸ θείων, ἦν δ᾽ ἐγώ, θεωριῶν ἐπὶ τὰ ἀνθρώπειά τις ἐλθὼν κακὰ ἀσχημονεῖ τε καὶ φαίνεται σφόδρα γελοῖος, ἔτι ἀμβλυώττων καί, πρὶν ἱκανῶς συνήθης γενέσθαι τῷ παρόντι σκότῳ, ἀναγκαζόμενος ἐν δικαστηρίοις ἢ ἄλλοθί που ἀγωνίζεσθαι περὶ τῶν τοῦ δικαίου σκιῶν ἢ ἀγαλμάτων ὧν αἱ σκιαί, καὶ διαμιλλᾶσθαι περὶ τούτου, ὅπῃ ποτὲ | ὑπολαμβάνεται ταῦτα ὑπὸ τῶν E
αὐτὴν δικαιοσύνην μὴ πώποτε ἰδόντων; Οὐδ᾽ ὁπωστιοῦν θαυμαστόν, ἔφη. Ἀλλ᾽ εἰ νοῦν γε ἔχοι τις, | ἦν δ᾽ ἐγώ, μεμνῇτ᾽ ἂν ὅτι διτταὶ καὶ 518
ἀπὸ διττῶν γίγνονται ἐπιταράξεις ὄμμασιν, ἔκ τε φωτὸς εἰς σκότος μεθισταμένων καὶ ἐκ σκότους εἰς φῶς· ταὐτὰ δὲ ταῦτα νομίσας γίγνεσθαι καὶ περὶ ψυχήν, ὁπότε ἴδοι θορυβουμένην τινὰ καὶ ἀδυνατοῦσάν τι καθορᾶν, οὐκ ἂν ἀλογίστως γελῷ, ἀλλ᾽ ἐπισκοποῖ ἄν, πότερον ἐκ φανοτέρου βίου ἥκουσα ὑπὸ ἀηθείας ἐσκότωται ἢ ἐξ ἀμαθίας πλείονος εἰς φανότερον | ἰοῦσα ὑπὸ B
λαμπροτέρου μαρμαρυγῆς ἐμπέπλησται, καὶ

Those who have had the Vision of the Good are ridiculous among men of the world.

518 οὕτω δὴ τὴν μὲν εὐδαιμονίσειεν ἂν τοῦ πάθους τε καὶ βίου, τὴν δὲ ἐλεήσειεν, καὶ εἰ γελᾶν ἐπ' αὐτῇ βούλοιτο, ἧττον ἂν καταγέλαστος ὁ γέλως αὐτῷ εἴη ἢ ὁ ἐπὶ τῇ ἄνωθεν ἐκ φωτὸς ἡκούσῃ. Καὶ μάλα,, ἔφη, μετρίως λέγεις.

* * * * *

519 B Τί δέ; τόδε οὐκ εἰκός, ἦν δ' ἐγώ, καὶ ἀνάγκη ἐκ τῶν προειρημένων, μήτε τοὺς ἀπαιδεύτους καὶ ἀληθείας ἀπείρους ἱκανῶς ἄν ποτε πόλιν ἐπιτροπεῦσαι,

Shall these or those oversee the State?

C μήτε τοὺς ἐν παιδείᾳ ἐωμένους διατρίβειν διὰ τέλους, τοὺς μέν, ὅτι σκοπὸν ἐν τῷ βίῳ οὐκ ἔχουσιν ἕνα, οὗ στοχαζομένους δεῖ ἅπαντα πράττειν ἃ ἂν πράττωσιν ἰδίᾳ τε καὶ δημοσίᾳ, τοὺς δέ, ὅτι ἑκόντες εἶναι οὐ πράξουσιν, ἡγούμενοι ἐν μακάρων νήσοις ζῶντες ἔτι ἀπῳκίσθαι; Ἀληθῆ, ἔφη. Ἡμέτερον δὴ ἔργον, ἦν δ' ἐγώ, τῶν οἰκιστῶν τάς τε βελτίστας φύσεις ἀναγκάσαι ἀφικέσθαι πρὸς τὸ μάθημα, ὃ ἐν τῷ πρόσθεν ἔφα-

The former, even if compelled.

D μεν εἶναι μέγιστον, ἰδεῖν τε τὸ ἀγαθὸν καὶ ἀναβῆναι ἐκείνην τὴν ἀνάβασιν, καὶ ἐπειδὰν ἀναβάντες ἱκανῶς ἴδωσι, μὴ ἐπιτρέπειν αὐτοῖς ὃ νῦν ἐπιτρέπεται. Τὸ ποῖον δή; Τὸ αὐτοῦ, ἦν δ' ἐγώ, καταμένειν καὶ μὴ ἐθέλειν πάλιν καταβαίνειν παρ' ἐκείνους τοὺς δεσμώτας μηδὲ μετέχειν τῶν παρ' ἐκείνοις πόνων τε καὶ τιμῶν, εἴτε φαυλότεραι εἴτε σπουδαιότεραι. Ἔπειτ', ἔφη, ἀδικήσομεν αὐτούς, καὶ ποιήσομεν χεῖρον ζῆν, δυνατὸν αὐτοῖς ὂν ἄμεινον; Ἐπελάθου,

E ἦν δ' ἐγώ, πάλιν, ὦ φίλε, ὅτι νόμῳ οὐ τοῦτο

μέλει, ὅπως ἕν τι γένος ἐν πόλει διαφερόντως 519
εὖ πράξει, ἀλλ᾽ ἐν ὅλῃ τῇ πόλει τοῦτο μηχα-
νᾶται ἐγγενέσθαι, ξυναρμόττων τοὺς πολίτας
πειθοῖ τε καὶ ἀνάγκῃ, ποιῶν μεταδιδόναι ἀλλή-
λοις τῆς ὠφελείας, ἣν ἂν ἕκαστοι τὸ κοινὸν |
δυνατοὶ ὦσιν ὠφελεῖν, καὶ αὐτὸς ἐμποιῶν τοιού- 520
τους ἄνδρας ἐν τῇ πόλει, οὐχ ἵνα ἀφίῃ τρέ-
πεσθαι ὅπῃ ἕκαστος βούλεται, ἀλλ᾽ ἵνα κατα-
χρῆται αὐτὸς αὐτοῖς ἐπὶ τὸν ξύνδεσμον τῆς πόλεως.
᾽Αληθῆ, ἔφη· ἐπελαθόμην γάρ. Σκέψαι τοίνυν,
εἶπον, ὦ Γλαύκων, ὅτι οὐδ᾽ ἀδικήσομεν τοὺς
παρ᾽ ἡμῖν φιλοσόφους γιγνομένους, ἀλλὰ δίκαια
πρὸς αὐτοὺς ἐροῦμεν, προσαναγκάζοντες τῶν
ἄλλων ἐπιμελεῖσθαί τε καὶ φυλάττειν. ἐροῦμεν
γὰρ ὅτι οἱ μὲν | ἐν ταῖς ἄλλαις πόλεσι τοιοῦ- B
τοι γιγνόμενοι εἰκότως οὐ μετέχουσι τῶν ἐν
αὐταῖς πόνων· αὐτόματοι γὰρ ἐμφύονται ἀκού-
σης τῆς ἐν ἑκάστῃ πολιτείας, δίκην δ᾽ ἔχει τό
γε αὐτοφυές, μηδενὶ τροφὴν ὀφεῖλον, μηδ᾽ ἐκτί-
νειν τῳ προθυμεῖσθαι τὰ τροφεῖα· ὑμᾶς δ᾽
ἡμεῖς ὑμῖν τε αὐτοῖς τῇ τε ἄλλῃ πόλει ὥσπερ
ἐν σμήνεσιν ἡγεμόνας τε καὶ βασιλέας ἐγεννή-
σαμεν, ἄμεινόν τε καὶ τελεώτερον ἐκείνων πεπαι-
δευμένους | καὶ μᾶλλον δυνατοὺς ἀμφοτέρων C
μετέχειν. καταβατέον οὖν ἐν μέρει ἑκάστῳ εἰς
τὴν τῶν ἄλλων ξυνοίκησιν καὶ ξυνεθιστέον τὰ
σκοτεινὰ θεάσασθαι· ξυνεθιζόμενοι γὰρ μυρίῳ
βέλτιον ὄψεσθε τῶν ἐκεῖ, καὶ γνώσεσθε ἕκαστα
τὰ εἴδωλα ἅττα ἐστὶ καὶ ὧν, διὰ τὸ τἀληθῆ
ἑωρακέναι καλῶν τε καὶ δικαίων καὶ ἀγαθῶν
πέρι. καὶ οὕτω ὕπαρ ἡμῖν καὶ ὑμῖν ἡ πόλις

520 οἰκήσεται, ἀλλ' οὐκ ὄναρ, ὡς νῦν αἱ πολλαὶ
ὑπὸ σκιαμαχούντων τε πρὸς ἀλλήλους καὶ
D στασιαζόντων | περὶ τοῦ ἄρχειν οἰκοῦνται, ὡς
μεγάλου τινὸς ἀγαθοῦ ὄντος. τὸ δέ που ἀληθὲς
ὧδ' ἔχει· ἐν πόλει ᾗ ἥκιστα πρόθυμοι
ἄρχειν οἱ μέλλοντες ἄρξειν, ταύτην ἄριστα
καὶ ἀστασιαστότατα ἀνάγκη οἰκεῖσθαι,
τὴν δ' ἐναντίους ἄρχοντας σχοῦσαν ἐναν-
τίως. Πάνυ μὲν οὖν, ἔφη. Ἀπειθήσουσιν
οὖν ἡμῖν, οἴει, οἱ τρόφιμοι ταῦτ' ἀκούοντες, καὶ
οὐκ ἐθελήσουσιν ξυμπονεῖν ἐν τῇ πόλει ἕκαστοι
ἐν μέρει, τὸν δὲ πολὺν χρόνον μετ' ἀλλήλων
οἰκεῖν ἐν τῷ καθαρῷ; Ἀδύνατον, ἔφη· δίκαια |
E γὰρ δὴ δικαίοις ἐπιτάξομεν· παντὸς μὴν μᾶλ-
λον ὡς ἐπ' ἀναγκαῖον αὐτῶν ἕκαστος εἶσι τὸ
ἄρχειν, τοὐναντίον τῶν νῦν ἐν ἑκάστῃ πόλει
ἀρχόντων.

Young Logicians.

539 Ἆρ' οὖν οὐ μία μὲν εὐλάβεια αὕτη συχνή,
B τὸ | μὴ νέους ὄντας αὐτῶν γεύεσθαι;
οἶμαι γάρ σε οὐ λεληθέναι ὅτι οἱ
μειρακίσκοι, ὅταν τὸ πρῶτον λόγων

Are like puppies for destruction.

γεύωνται, ὡς παιδιᾷ αὐτοῖς καταχρῶνται, ἀεὶ
εἰς ἀντιλογίαν χρώμενοι, καὶ μιμούμενοι τοὺς
ἐξελέγχοντας αὐτοὶ ἄλλους ἐλέγχουσι, χαίροντες
ὥσπερ σκυλάκια τῷ ἕλκειν τε καὶ σπαράττειν
τῷ λόγῳ τοὺς πλησίον ἀεί. Ὑπερφυῶς μὲν
οὖν, ἔφη. Οὐκοῦν ὅταν δὴ πολλοὺς μὲν αὐτοὶ
ἐλέγξωσιν, ὑπὸ πολλῶν δὲ ἐλεγχθῶσι, σφόδρα
C καὶ | ταχὺ ἐμπίπτουσιν εἰς τὸ μηδὲν ἡγεῖσθαι

ὧνπερ πρότερον· καὶ ἐκ τούτων δὴ αὐτοί τε 539
καὶ τὸ ὅλον φιλοσοφίας πέρι εἰς τοὺς ἄλλους διαβέβληνται. Ἀληθέστατα, ἔφη. Ὁ δὲ δὴ πρεσβύτερος, ἦν δ᾽ ἐγώ, τῆς μὲν τοιαύτης μανίας οὐκ ἂν ἐθέλοι μετέχειν, τὸν δὲ διαλέγεσθαι ἐθέλοντα καὶ σκοπεῖν τἀληθὲς μᾶλλον μιμήσεται ἢ τὸν παιδιᾶς χάριν παίζοντα καὶ ἀντιλέγοντα, καὶ αὐτός τε μετριώτερος | ἔσται D
καὶ τὸ ἐπιτήδευμα τιμιώτερον ἀντὶ ἀτιμοτέρου ποιήσει. Ὀρθῶς, ἔφη. Οὐκοῦν καὶ τὰ προειρημένα τούτου ἐπ᾽ εὐλαβείᾳ πάντα προείρηται, τὸ τὰς φύσεις κοσμίους εἶναι καὶ στασίμους, οἷς τις μεταδώσει τῶν λόγων, καὶ μὴ ὡς νῦν ὁ τυχὼν καὶ οὐδὲν προσήκων ἔρχεται ἐπ᾽ αὐτό; Πάνυ μὲν οὖν, ἔφη.

VIII

Democracy.—Its Rise, Estate, and End.

Origin.

Δημοκρατία δή, οἶμαι, γίγνεται, ὅταν οἱ 557
πένητες νικήσαντες τοὺς μὲν ἀποκτείνωσι τῶν ἑτέρων, τοὺς δὲ ἐκβάλωσι, τοῖς δὲ λοιποῖς ἐξ ἴσου μεταδῶσι πολιτείας τε καὶ ἀρχῶν, καὶ ὡς τὸ πολὺ ἀπὸ κλήρων αἱ ἀρχαὶ ἐν αὐτῇ γίγνωνται. Ἔστι γάρ, ἔφη, αὕτη ἡ κατάστασις δημοκρατίας, ἐάντε καὶ δι᾽ ὅπλων γένηται ἐάντε καὶ διὰ φόβον ὑπεξελθόντων τῶν ἑτέρων. Τίνα δὴ οὖν, ἦν δ᾽ ἐγώ, οὗτοι τρόπον οἰκοῦσι; καὶ ποία τις ἡ τοιαύτη | αὖ πολιτεία; δῆλον γὰρ ὅτι ὁ B

Its motley character: each does as he likes—

557 τοιοῦτος ἀνὴρ δημοκρατικός τις ἀναφανήσεται. Δῆλον, ἔφη. Οὐκοῦν πρῶτον μὲν δὴ ἐλεύθεροι, καὶ ἐλευθερίας ἡ πόλις μεστὴ καὶ παρρησίας γίγνεται, καὶ ἐξουσία ἐν αὐτῇ ποιεῖν ὅ τι τις βούλεται; Λέγεταί γε δή, ἔφη. Ὅπου δέ γε ἐξουσία, δῆλον ὅτι ἰδίαν ἕκαστος ἂν κατασκευὴν τοῦ αὑτοῦ βίου κατασκευάζοιτο ἐν αὐτῇ, ἥτις ἕκαστον ἀρέσκοι. Δῆλον. Παντοδαποὶ δὴ ἄν, οἶμαι, ἐν
C ταύτῃ | τῇ πολιτείᾳ μάλιστ' ἐγγίγνοιντο ἄνθρωποι. Πῶς γὰρ οὔ; Κινδυνεύει, ἦν δ' ἐγώ, καλλίστη αὕτη τῶν πολιτειῶν εἶναι· ὥσπερ ἱμάτιον ποικίλον πᾶσιν ἄνθεσι πεποικιλμένον, οὕτω καὶ αὕτη πᾶσιν ἤθεσι πεποικιλμένη καλλίστη ἂν φαίνοιτο. καὶ ἴσως μέν, ἦν δ' ἐγώ, καὶ ταύτην, ὥσπερ οἱ παῖδές τε καὶ αἱ γυναῖκες τὰ ποικίλα θεώμενοι, καλλίστην ἂν πολλοὶ κρίνειαν. Καὶ μάλ', ἔφη. Καὶ ἔστιν γε, ὦ μακάριε, ἦν δ' |
D ἐγώ, ἐπιτήδειον ζητεῖν ἐν αὐτῇ πολιτείαν. Τί δή; Ὅτι πάντα γένη πολιτειῶν ἔχει διὰ τὴν ἐξουσίαν, καὶ κινδυνεύει τῷ βουλομένῳ πόλιν κατασκευάζειν, ὃ νῦν δὴ ἡμεῖς ἐποιοῦμεν, ἀναγκαῖον εἶναι εἰς δημοκρατουμένην ἐλθόντι πόλιν, ὃς ἂν αὐτὸν ἀρέσκῃ τρόπος, τοῦτον ἐκλέξασθαι, ὥσπερ εἰς παντοπώλιον ἀφικομένῳ πολιτειῶν, καὶ ἐκλεξαμένῳ οὕτω κατοικίζειν. Ἴσως γοῦν,

no compulsion on any one—

E ἔφη, οὐκ ἂν ἀποροῖ | παραδειγμάτων. Τὸ δὲ μηδεμίαν ἀνάγκην, εἶπον, εἶναι ἄρχειν ἐν ταύτῃ τῇ πόλει, μηδ' ἂν ᾖς ἱκανὸς ἄρχειν, μηδὲ αὖ ἄρχεσθαι, ἐὰν μὴ βούλῃ, μηδὲ πολεμεῖν πολεμούντων, μηδὲ εἰρήνην ἄγειν τῶν

ἄλλων ἀγόντων, ἐὰν μὴ ἐπιθυμῇς εἰρήνης, μηδ' 557
αὖ, ἐάν τις ἄρχειν νόμος σε διακωλύῃ ἢ δικάζειν, μηδὲν ἧττον καὶ ἄρχειν καὶ δικάζειν, ἐὰν αὐτῷ
σοι ἐπίῃ, | ἆρ' οὐ θεσπεσία καὶ ἡδεῖα ἡ τοιαύτη 558
διαγωγὴ ἐν τῷ παραυτίκα; Ἴσως, ἔφη, ἔν γε τούτῳ. Τί δέ; ἡ πραότης ἐνίων τῶν δικασθέντων οὐ κομψή; ἢ οὔπω εἶδες ἐν τοιαύτῃ πολιτείᾳ, ἀνθρώπων καταψηφισθέντων θανάτου ἢ φυγῆς, οὐδὲν ἧττον αὐτῶν μενόντων τε καὶ ἀναστρεφομένων ἐν μέσῳ, καὶ ὡς οὔτε φροντίζοντος οὔτε ὁρῶντος οὐδενὸς περινοστεῖ ὥσπερ ἥρως; Καὶ πολλούς γ', ἔφη. Ἡ δὲ συγγνώμη
καὶ | οὐδ' ὁπωστιοῦν σμικρολογία αὐτῆς, ἀλλὰ B
καταφρόνησις ὧν ἡμεῖς ἐλέγομεν σεμνύνοντες, ὅτε τὴν πόλιν ᾠκίζομεν, ὡς εἰ μή τις ὑπερβεβλημένην φύσιν ἔχοι, οὔποτ' ἂν γένοιτο ἀνὴρ ἀγαθός, εἰ μὴ παῖς ὢν εὐθὺς παίζοι ἐν καλοῖς καὶ ἐπιτηδεύοι τὰ τοιαῦτα πάντα,—ὡς μεγαλοπρεπῶς καταπατήσασ' ἅπαντα ταῦτα οὐδὲν φροντίζει, ἐξ ὁποίων ἄν τις ἐπιτηδευμάτων ἐπὶ τὰ πολιτικὰ ἰὼν πράττῃ, ἀλλὰ τιμᾷ, ἐὰν φῇ μόνον
εὔνους εἶναι τῷ | πλήθει. Πάνυ γ', ἔφη, C
γενναία. Ταῦτά τε δή, ἔφην, ἔχοι ἂν καὶ τούτων ἄλλα ἀδελφὰ δημοκρατία, καὶ εἴη, ὡς ἔοικεν, ἡδεῖα πολιτεία καὶ ἄναρχος καὶ ποικίλη, ἰσότητά τινα ὁμοίως ἴσοις τε καὶ ἀνίσοις διανέμουσα. Καὶ μάλ', ἔφη, γνώριμα λέγεις.

all equally fit for offices of state.

* * * * *

Ὃ προὔθεντο, ἦν δ' ἐγώ, ἀγαθόν, καὶ 562
δι' οὗ ἡ ὀλιγαρχία καθίστατο — τοῦτο δ' B

But its passion for Freedom destroys it.

562 ἣν ὑπὲρ πλούτου· ἦ γάρ; Ναί. Ἡ πλούτου τοίνυν ἀπληστία καὶ ἡ τῶν ἄλλων ἀμέλεια διὰ χρηματισμὸν αὐτὴν ἀπώλλυ. Ἀληθῆ, ἔφη. Ἆρ᾽ οὖν καὶ ὃ δημοκρατία ὁρίζεται ἀγαθόν, ἡ τούτου ἀπληστία καὶ ταύτην καταλύει; Λέγεις δ᾽ αὐτὴν τί ὁρίζεσθαι; Τὴν ἐλευθερίαν, εἶπον. τοῦτο γάρ που ἐν δημοκρατουμένῃ πόλει
C ἀκούσαις | ἂν ὡς ἔχει τε κάλλιστον καὶ διὰ ταῦτα ἐν μόνῃ ταύτῃ ἄξιον οἰκεῖν ὅστις φύσει ἐλεύθερος. Λέγεται γὰρ δή, ἔφη, καὶ πολὺ τοῦτο τὸ ῥῆμα. Ἆρ᾽ οὖν, ἦν δ᾽ ἐγώ, ὅπερ ᾖα νῦν δὴ ἐρῶν, ἡ τοῦ τοιούτου ἀπληστία καὶ ἡ τῶν ἄλλων ἀμέλεια καὶ ταύτην τὴν πολιτείαν μεθίστησί τε καὶ παρασκευάζει τυραννίδος δεηθῆναι; Πῶς; ἔφη. Ὅταν, οἶμαι, δημοκρατουμένη πόλις ἐλευθερίας διψήσασα κακῶν
D οἰνοχόων προστατούντων τύχῃ, | καὶ πορρωτέρω

Drunken with Freedom,

τοῦ δέοντος ἀκράτου αὐτῆς μεθυσθῇ, τοὺς ἄρχοντας δή, ἂν μὴ πάνυ πρᾶοι ὦσι καὶ πολλὴν παρέχωσι τὴν ἐλευθερίαν, κολάζει αἰτιωμένη ὡς μιαρούς τε καὶ ὀλιγαρχικούς. Δρῶσιν γάρ, ἔφη, τοῦτο. Τοὺς δέ γε, εἶπον, τῶν ἀρχόντων κατηκόους προπηλακίζει ὡς ἐθελοδούλους τε καὶ οὐδὲν ὄντας, τοὺς δὲ ἄρχοντας μὲν ἀρχομένοις, ἀρχομένους δὲ ἄρχουσιν ὁμοίους ἰδίᾳ τε καὶ δημοσίᾳ ἐπαινεῖ τε καὶ
E τιμᾷ. ἆρ᾽ οὐκ ἀνάγκη ἐν τοιαύτῃ | πόλει ἐπὶ πᾶν τὸ τῆς ἐλευθερίας ἰέναι; Πῶς γὰρ οὔ;

anarchy permeates all its members—

Καὶ καταδύεσθαί γε, ἦν δ᾽ ἐγώ, ὦ φίλε, εἴς τε τὰς ἰδίας οἰκίας καὶ τελευτᾶν μέχρι τῶν θηρίων τὴν ἀναρ-

χίαν ἐμφυομένην. Πῶς, ἦ δ' ὅς, τὸ τοιοῦτον 562 λέγομεν; Οἷον, ἔφην, πατέρα μὲν ἐθίζεσθαι παιδὶ ὅμοιον γίγνεσθαι καὶ φοβεῖσθαι τοὺς ὑεῖς, ὑὸν δὲ πατρί, καὶ μήτε αἰσχύνεσθαι μήτε δεδιέναι τοὺς γονέας, ἵνα δὴ ἐλεύθερος ᾖ· μέτοικον | δὲ 563 ἀστῷ καὶ ἀστὸν μετοίκῳ ἐξισοῦσθαι, καὶ ξένον ὡσαύτως. Γίγνεται γὰρ οὕτως, ἔφη. Ταῦτά τε, ἦν δ' ἐγώ, καὶ σμικρὰ τοιάδε ἄλλα γίγνεται· διδάσκαλός τε ἐν τῷ τοιούτῳ φοιτητὰς φοβεῖται καὶ θωπεύει, φοιτηταί τε διδασκάλων ὀλιγωροῦσιν, οὕτω δὲ καὶ παιδαγωγῶν· καὶ ὅλως οἱ μὲν νέοι πρεσβυτέροις ἀπεικάζονται καὶ διαμιλλῶνται καὶ ἐν λόγοις καὶ ἐν ἔργοις, οἱ δὲ γέροντες ξυγκαθιέντες τοῖς νέοις εὐτραπελίας τε καὶ χαριεντισμοῦ | ἐμπίμπλανται, μιμούμενοι B τοὺς νέους, ἵνα δὴ μὴ δοκῶσιν ἀηδεῖς εἶναι μηδὲ δεσποτικοί. Πάνυ μὲν οὖν, ἔφη. Τὸ δέ γε, ἦν δ' ἐγώ, ἔσχατον, ὦ φίλε, τῆς ἐλευθερίας τοῦ πλήθους, ὅσον γίγνεται ἐν τῇ τοιαύτῃ πόλει, ὅταν δὴ οἱ ἐωνημένοι καὶ αἱ ἐωνημέναι μηδὲν ἧττον ἐλεύθεροι ὦσι τῶν πριαμένων. ἐν γυναιξὶ δὲ πρὸς ἄνδρας καὶ ἀνδράσι πρὸς γυναῖκας ὅση ἡ ἰσονομία καὶ ἐλευθερία γίγνεται, ὀλίγου ἐπελαθόμεθ' εἰπεῖν.

its very slaves,

Οὐκοῦν κατ' Αἰσχύλον, | ἔφη, ἐροῦμεν ὅ τι νῦν C ἦλθ' ἐπὶ στόμα; Πάνυ γε, εἶπον. καὶ ἔγωγε οὕτω λέγω· τὸ μὲν γὰρ τῶν θηρίων τῶν ὑπὸ τοῖς ἀνθρώποις ὅσῳ ἐλευθερώτερά ἐστιν ἐνταῦθα ἢ ἐν ἄλλῃ, οὐκ ἄν τις πείθοιτο ἄπειρος. ἀτεχνῶς γὰρ αἵ τε κύνες κατὰ τὴν παροιμίαν οἷαίπερ αἱ δέσποιναι, γίγνονταί τε δὴ καὶ ἵπποι καὶ ὄνοι,

dogs, and donkeys.

563 πάνυ ἐλευθέρως καὶ σεμνῶς εἰθισμένοι
πορεύεσθαι, κατὰ τὰς ὁδοὺς ἐμβάλ-
λοντες τῷ ἀεὶ ἀπαντῶντι, ἐὰν μὴ ἐξίστηται·
D καὶ τἆλλα πάντα οὕτως | μεστὰ ἐλευθερίας
γίγνεται. Τὸ ἐμόν γ᾽, ἔφη, ἐμοὶ λέγεις ὄναρ·
αὐτὸς γὰρ εἰς ἀγρὸν πορευόμενος θαμὰ αὐτὸ
πάσχω. Τὸ δὲ δὴ κεφάλαιον, ἦν δ᾽ ἐγώ,
πάντων τούτων ξυνηθροισμένων ἐννοεῖς, ὡς
ἁπαλὴν τὴν ψυχὴν τῶν πολιτῶν ποιεῖ, ὥστε,
κἂν ὁτιοῦν δουλείας τισὶ προσφέρηται, ἀγανα-
κτεῖν καὶ μὴ ἀνέχεσθαι; τελευτῶντες γάρ που
οἶσθ᾽ ὅτι οὐδὲ τῶν νόμων φροντίζουσι γεγραμ-
μένων ἢ ἀγράφων, ἵνα δὴ μηδαμῇ μηδεὶς αὐτοῖς
E | ᾖ δεσπότης. Καὶ μάλ᾽, ἔφη, οἶδα.

Αὕτη μὲν τοίνυν, ἦν δ᾽ ἐγώ, ὦ φίλε, ἡ ἀρχὴ
οὑτωσὶ καλὴ καὶ νεανική, ὅθεν τυραννὶς φύεται,
ὡς ἐμοὶ δοκεῖ. Νεανικὴ δῆτα, ἔφη·

Hence springs Tyranny.

ἀλλὰ τί τὸ μετὰ τοῦτο; Ταὐτόν, ἦν
δ᾽ ἐγώ, ὅπερ ἐν τῇ ὀλιγαρχίᾳ νόσημα ἐγγενόμενον
ἀπώλεσεν αὐτήν, τοῦτο καὶ ἐν ταύτῃ πλέον τε
καὶ ἰσχυρότερον ἐκ τῆς ἐξουσίας ἐγγενόμενον
καταδουλοῦται δημοκρατίαν· καὶ τῷ ὄντι τὸ
ἄγαν τι ποιεῖν μεγάλην φιλεῖ εἰς τοὐναντίον
μεταβολὴν ἀνταποδιδόναι, ἐν ὥραις τε καὶ ἐν |
564 φυτοῖς καὶ ἐν σώμασι, καὶ δὴ καὶ ἐν πολιτείαις
οὐχ ἥκιστα. Εἰκός, ἔφη. Ἡ γὰρ ἄγαν
ἐλευθερία ἔοικεν οὐκ εἰς ἄλλο τι ἢ εἰς
ἄγαν δουλείαν μεταβάλλειν καὶ ἰδιώτῃ
καὶ πόλει. Εἰκὸς γάρ. Εἰκότως τοίνυν,
εἶπον, οὐκ ἐξ ἄλλης πολιτείας τυραννὶς καθί-
σταται ἢ ἐκ δημοκρατίας, ἐξ οἶμαι τῆς ἀκρο-

τάτης ἐλευθερίας δουλεία πλείστη τε καὶ ἀγριωτάτη. Ἔχει γάρ, ἔφη, λόγον.

IX

The Soul three Creatures in one.

Εἶεν δή, εἶπον· ἐπειδὴ ἐνταῦθα λόγου | 588 γεγόναμεν, ἀναλάβωμεν τὰ πρῶτα λεχθέντα, B δι' ἃ δεῦρ' ἥκομεν· ἦν δέ που λεγόμενον, λυσιτελεῖν ἀδικεῖν τῷ τελέως μὲν ἀδίκῳ δοξαζομένῳ δὲ δικαίῳ. ἢ οὐχ οὕτως ἐλέχθη; Οὕτω μὲν οὖν. Νῦν δή, ἔφην, αὐτῷ διαλεγώμεθα, ἐπειδὴ διωμολογησάμεθα τό τε ἀδικεῖν καὶ τὸ δίκαια πράττειν ἣν ἑκάτερον ἔχει δύναμιν. Πῶς; ἔφη. Εἰκόνα πλάσαντες τῆς ψυχῆς λόγῳ, ἵνα εἰδῇ ὁ ἐκεῖνα λέγων οἷα ἔλεγεν. Ποίαν τινά; ἦ δ' | ὅς. Τῶν τοιούτων C τινά, ἦν δ' ἐγώ, οἷαι μυθολογοῦνται παλαιαὶ γενέσθαι φύσεις, ἥ τε Χιμαίρας καὶ ἡ Σκύλλης καὶ Κερβέρου, καὶ ἄλλαι τινὲς συχναὶ λέγονται ξυμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. Λέγονται γάρ, ἔφη. Πλάττε τοίνυν μίαν μὲν ἰδέαν θηρίου ποικίλου καὶ πολυκεφάλου, ἡμέρων δὲ θηρίων ἔχοντος κεφαλὰς κύκλῳ καὶ ἀγρίων, καὶ δυνατοῦ μεταβάλλειν καὶ φύειν ἐξ αὑτοῦ πάντα ταῦτα. Δεινοῦ πλάστου, ἔφη, τὸ ἔργον· | ὅμως δέ, D ἐπειδὴ εὐπλαστότερον κηροῦ καὶ τῶν τοιούτων λόγος, πεπλάσθω. Μίαν δὴ τοίνυν ἄλλην ἰδέαν λέοντος, μίαν δὲ ἀνθρώ-

A monster many-headed,

a lion, and a man.

588 που· πολὺ δὲ μέγιστον ἔστω τὸ πρῶτον καὶ
δεύτερον τὸ δεύτερον. Ταῦτα, ἔφη, ῥᾴω· καὶ
πέπλασται. Σύναπτε τοίνυν αὐτὰ εἰς ἓν τρία
ὄντα, ὥστε πῃ ξυμπεφυκέναι ἀλλήλοις. Συν-
ῆπται, ἔφη. Περίπλασον δὴ αὐτοῖς ἔξωθεν
ἑνὸς εἰκόνα, τὴν τοῦ ἀνθρώπου, ὥστε τῷ μὴ
E δυναμένῳ τὰ ἐντὸς ὁρᾶν ἀλλὰ | τὸ ἔξω μόνον
ἔλυτρον ὁρῶντι, ἓν ζῷον φαίνεσθαι, ἄνθρωπον.
Περιπέπλασται, ἔφη. Λέγωμεν δὴ τῷ λέγοντι
ὡς λυσιτελεῖ τούτῳ ἀδικεῖν τῷ ἀνθρώπῳ,
δίκαια δὲ πράττειν οὐ ξυμφέρει, ὅτι
οὐδὲν ἄλλο φησὶν ἢ λυσιτελεῖν αὐτῷ
τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι
ποιεῖν ἰσχυρὸν καὶ τὸν λέοντα καὶ τὰ περὶ
589 τὸν λέοντα, τὸν δὲ ἄνθρωπον λιμοκτονεῖν | καὶ
ποιεῖν ἀσθενῆ, ὥστε ἕλκεσθαι ὅπῃ ἂν ἐκείνων
ὁπότερον ἄγῃ, καὶ μηδὲν ἕτερον ἑτέρῳ ξυνεθίζειν
μηδὲ φίλον ποιεῖν, ἀλλ᾽ ἐᾶν αὐτὰ ἐν αὑτοῖς
δάκνεσθαί τε καὶ μαχόμενα ἐσθίειν ἄλληλα.
Παντάπασι γάρ, ἔφη, ταῦτ᾽ ἂν λέγοι ὁ τὸ
ἀδικεῖν ἐπαινῶν. Οὐκοῦν αὖ ὁ τὰ δίκαια
λέγων λυσιτελεῖν φαίη ἂν δεῖν ταῦτα
πράττειν καὶ ταῦτα λέγειν, ὅθεν τοῦ
ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἔσται
B ἐγκρατέστατος, | καὶ τοῦ πολυκεφάλου θρέμ-
ματος ἐπιμελήσεται (ὥσπερ γεωργός, τὰ μὲν
ἥμερα τρέφων καὶ τιθασεύων, τὰ δὲ ἄγρια
ἀποκωλύων φύεσθαι), ξύμμαχον ποιησάμενος
τὴν τοῦ λέοντος φύσιν, καὶ κοινῇ πάντων
κηδόμενος, φίλα ποιησάμενος ἀλλήλοις τε καὶ
αὑτῷ, οὕτω θρέψει; Κομιδῇ γὰρ αὖ λέγει

Wrong-doing fattens the first two,

Right tames the lion and helps the man.

ταῦτα ὁ τὸ δίκαιον ἐπαινῶν. Κατὰ πάντα 589
τρόπον δὴ ὁ μὲν τὰ δίκαια ἐγκωμιάζων ἀληθῆ
ἂν λέγοι, | ὁ δὲ τὰ ἄδικα ψεύδοιτο. πρός C
τε γὰρ ἡδονὴν καὶ πρὸς εὐδοξίαν καὶ ὠφελίαν
σκοπουμένῳ ὁ μὲν ἐπαινέτης τοῦ δικαίου
ἀληθεύει, ὁ δὲ ψέκτης οὐδὲν ὑγιὲς οὐδ᾽ εἰδὼς
ψέγει ὅ τι ψέγει. Οὔ μοι δοκεῖ, ἦ δ᾽ ὅς,
οὐδαμῇ γε. Πείθωμεν τοίνυν αὐτὸν πράως
(οὐ γὰρ ἑκὼν ἁμαρτάνει), ἐρωτῶντες· Ὦ
μακάριε, οὐ καὶ τὰ καλὰ καὶ αἰσχρὰ νόμιμα
διὰ τὰ τοιαῦτ᾽ ἂν φαῖμεν γεγονέναι—τὰ μὲν |
καλὰ τὰ ὑπὸ τῷ ἀνθρώπῳ (μᾶλλον δὲ ἴσως τὰ D
ὑπὸ τῷ θείῳ) τὰ θηριώδη ποιοῦντα τῆς φύσεως,
αἰσχρὰ δὲ τὰ ὑπὸ τῷ ἀγρίῳ τὸ ἥμερον δουλού-
μενα; ξυμφήσει ἢ πῶς; Ἐὰν ἐμοί, ἔφη,
πείθηται. Ἔστιν οὖν, εἶπον, ὅτῳ λυσιτελεῖ ἐκ
τούτου τοῦ λόγου χρυσίον λαμβά- *What theft does, and*
νειν ἀδίκως, εἴπερ τοιόνδε τι γίγνεται,
λαμβάνων τὸ χρυσίον ἅμα καταδουλοῦται τὸ
βέλτιστον ἑαυτοῦ τῷ μοχθηροτάτῳ; ἢ εἰ μὲν
| λαβὼν χρυσίον ὑὸν ἢ θυγατέρα ἐδουλοῦτο, E
καὶ ταῦτ᾽ εἰς ἀγρίων τε καὶ κακῶν ἀνδρῶν,
οὐκ ἂν αὐτῷ ἐλυσιτέλει οὐδ᾽ ἂν πάμπολυ ἐπὶ
τούτῳ λαμβάνειν, εἰ δὲ τὸ ἑαυτοῦ θειότατον
ὑπὸ τῷ ἀθεωτάτῳ τε καὶ μιαρωτάτῳ δουλοῦται
καὶ μηδὲν ἐλεεῖ, οὐκ ἄρα ἄθλιός ἐστι καὶ | πολὺ 590
ἐπὶ δεινοτέρῳ ὀλέθρῳ χρυσὸν δωροδοκεῖ ἢ Ἐρι-
φύλη ἐπὶ τῇ τοῦ ἀνδρὸς ψυχῇ τὸν ὅρμον δεξα-
μένη; Πολὺ μέντοι, ἦ δ᾽ ὃς ὁ Γλαύκων· ἐγὼ
γάρ σοι ὑπὲρ ἐκείνου ἀποκρινοῦμαι. *intemperance, self-will, and like qualities.*
Οὐκοῦν καὶ τὸ ἀκολασταίνειν οἴει διὰ

590 τοιαῦτα πάλαι ψέγεσθαι, ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ τὸ δεινὸν τὸ μέγα ἐκεῖνο καὶ πολυειδὲς θρέμμα πέρα τοῦ δέοντος; Δῆλον, ἔφη. Ἡ δ' αὐθαδία καὶ δυσκολία ψέγεται οὐχ ὅταν τὸ λεον-
B τῶδές | τε καὶ ὀφεῶδες αὔξηται καὶ συντείνηται ἀναρμόστως; Πάνυ μὲν οὖν. Τρυφὴ δὲ καὶ μαλθακία οὐκ ἐπὶ τῇ αὐτοῦ τούτου χαλάσει τε καὶ ἀνέσει ψέγεται, ὅταν ἐν αὐτῷ δειλίαν ἐμποιῇ; Τί μήν; Κολακεία δὲ καὶ ἀνελευθερία οὐχ ὅταν τις τὸ αὐτὸ τοῦτο, τὸ θυμοειδές, ὑπὸ τῷ ὀχλώδει θηρίῳ ποιῇ, καὶ ἕνεκα χρημάτων καὶ τῆς ἐκείνου ἀπληστίας προπηλακιζόμενον ἐθίζῃ ἐκ νέου ἀντὶ λέοντος
C πίθηκον γίγνεσθαι; | Καὶ μάλα, ἔφη. Βαναυσία δὲ καὶ χειροτεχνία διὰ τί, οἴει, ὄνειδος φέρει; ἢ δι' ἄλλο τι φήσομεν ἢ ὅταν τις ἀσθενὲς φύσει ἔχῃ τὸ τοῦ βελτίστου εἶδος, ὥστε μὴ ἂν δύνασθαι ἄρχειν τῶν ἐν αὑτῷ θρεμμάτων, ἀλλὰ θεραπεύειν ἐκεῖνα, καὶ τὰ θωπεύματα αὐτῶν μόνον δύνηται μανθάνειν; Ἔοικεν, ἔφη.

He should be ruled who cannot rule himself.

Οὐκοῦν ἵνα καὶ ὁ τοιοῦτος ὑπὸ ὁμοίου ἄρχηται οἵουπερ ὁ βέλτιστος, δοῦλον αὐτόν φαμεν δεῖν εἶναι ἐκείνου
D τοῦ | βελτίστου, ἔχοντος ἐν αὑτῷ τὸ θεῖον ἄρχον, οὐκ ἐπὶ βλάβῃ τῇ τοῦ δούλου οἰόμενοι δεῖν ἄρχεσθαι αὐτόν, ὥσπερ Θρασύμαχος ᾤετο τοὺς ἀρχομένους, ἀλλ' ὡς ἄμεινον ὂν παντὶ ὑπὸ θείου καὶ φρονίμου ἄρχεσθαι, μάλιστα μὲν οἰκείως ἔχοντος ἐν αὐτῷ, εἰ δὲ μή, ἔξωθεν ἐφεστῶτος, ἵνα εἰς δύναμιν πάντες ὅμοιοι ὦμεν καὶ φίλοι τῷ αὐτῷ κυβερνώμενοι; Καὶ ὀρθῶς

γ᾽, ἔφη. Δηλοῖ δέ γε, ἦν δ᾽ ἐγώ, καὶ ὁ 590
νόμος | ὅτι τοιοῦτον βούλεται, πᾶσι τοῖς ἐν τῇ E
πόλει ξύμμαχος ὤν· καὶ ἡ τῶν παίδων ἀρχή,
τὸ μὴ ἐᾶν ἐλευθέρους εἶναι, ἕως ἂν ἐν αὐτοῖς
ὥσπερ ἐν πόλει πολιτείαν καταστήσωμεν, καὶ
τὸ βέλτιστον θεραπεύσαντες | τῷ παρ᾽ ἡμῖν 591
τοιούτῳ ἀντικαταστήσωμεν φύλακα ὅμοιον καὶ
ἄρχοντα ἐν αὐτῷ, καὶ τότε δὴ ἐλεύθερον
ἀφίεμεν. Δηλοῖ γάρ, ἦ δ᾽ ὅς. Πῇ δὴ οὖν
φήσομεν, ὦ Γλαύκων, καὶ κατὰ τίνα λόγον λυσι-
τελεῖν ἀδικεῖν ἢ ἀκολασταίνειν ἤ τι αἰσχρὸν
ποιεῖν, ἐξ ὧν πονηρότερος μὲν ἔσται, πλείω δὲ
χρήματα ἢ ἄλλην τινὰ δύναμιν κεκτήσεται;
Οὐδαμῇ, ἦ δ᾽ ὅς. Πῇ δ᾽ ἀδικοῦντα λανθάνειν
καὶ μὴ διδόναι δίκην λυσιτελεῖν; ἢ οὐχὶ ὁ μὲν
λανθάνων | ἔτι πονηρότερος γίγνεται, τοῦ δὲ μὴ B
λανθάνοντος καὶ κολαζομένου τὸ μὲν
θηριῶδες κοιμίζεται καὶ ἡμεροῦται,
τὸ δὲ ἥμερον ἐλευθεροῦται, καὶ ὅλη
ἡ ψυχὴ εἰς τὴν βελτίστην φύσιν καθισταμένη
τιμιωτέραν ἕξιν λαμβάνει, σωφροσύνην τε καὶ
δικαιοσύνην μετὰ φρονήσεως κτωμένη, ἢ σῶμα
ἰσχύν τε καὶ κάλλος μετὰ ὑγιείας λαμβάνον, το-
σούτῳ ὅσῳπερ ψυχὴ σώματος τιμιωτέρα; Παν-
τάπασι μὲν οὖν, ἔφη. Οὐκοῦν ὅ γε νοῦν ἔχων
πάντα | τὰ αὑτοῦ εἰς τοῦτο ξυντείνας βιώσεται, C
πρῶτον μὲν τὰ μαθήματα τιμῶν, ἃ τοιαύτην αὐτοῦ
τὴν ψυχὴν ἀπεργάσεται, τὰ δὲ ἄλλα
ἀτιμάζων; Δῆλον, ἔφη. Ἔπειτά γ᾽,
εἶπον, τὴν τοῦ σώματος ἕξιν καὶ τροφὴν οὐχ ὅπως
τῇ θηριώδει καὶ ἀλόγῳ ἡδονῇ ἐπιτρέψας ἐνταῦθα

The wrong-doer is better punished.

One's duty to himself.

591 τετραμμένος ζήσει, ἀλλ᾿ οὐδὲ πρὸς ὑγίειαν
βλέπων, οὐδὲ τοῦτο πρεσβεύων, ὅπως ἰσχυρὸς
ἢ ὑγιὴς ἢ καλὸς ἔσται, ἐὰν μὴ καὶ σωφρονήσειν
D μέλλῃ ἀπ᾿ αὐτῶν, | ἀλλ᾿ ἀεὶ τὴν ἐν τῷ σώματι
ἁρμονίαν τῆς ἐν τῇ ψυχῇ ἕνεκα ξυμφωνίας
ἁρμοττόμενος [φαίνηται]. Παντάπασι μὲν οὖν,
ἔφη, ἐάνπερ μέλλῃ τῇ ἀληθείᾳ μουσικὸς εἶναι.
Οὐκοῦν, εἶπον, καὶ τὴν ἐν τῇ τῶν χρημάτων
κτήσει ξύνταξίν τε καὶ ξυμφωνίαν; καὶ τὸν
ὄγκον τοῦ πλήθους οὐκ ἐκπληττόμενος ὑπὸ
τοῦ τῶν πολλῶν μακαρισμοῦ ἄπειρον αὐξήσει,
ἀπέραντα κακὰ ἔχων; Οὐκ οἴομαι, ἔφη.
E Ἀλλ᾿ ἀποβλέπων γε, εἶπον, | πρὸς τὴν ἐν
αὑτῷ πολιτείαν καὶ φυλάττων, μή τι παρακινῇ
αὐτοῦ τῶν ἐκεῖ διὰ πλῆθος οὐσίας ἢ δι᾿
ὀλιγότητα, οὕτως κυβερνῶν προσθήσει καὶ
ἀναλώσει τῆς οὐσίας καθ᾿ ὅσον ἂν οἷός τ᾿ ᾖ.
Κομιδῇ μὲν οὖν, ἔφη. Ἀλλὰ μὴν καὶ τιμάς
592 γε, εἰς ταὐτὸν ἀποβλέπων, | τῶν μὲν μεθέξει
καὶ γεύσεται ἑκών, ἃς ἂν ἡγῆται ἀμείνω αὑτὸν
ποιήσειν, ἃς δ᾿ ἂν λύσειν τὴν ὑπάρχουσαν
ἕξιν, φεύξεται ἰδίᾳ καὶ δημοσίᾳ. Οὐκ ἄρα,
ἔφη, τά γε πολιτικὰ ἐθελήσει πράττειν, ἐάνπερ
τούτου κήδηται. Νὴ τὸν κύνα, ἦν δ᾿ ἐγώ, ἔν
γε τῇ ἑαυτοῦ πόλει καὶ μάλα, οὐ
μέντοι ἴσως ἔν γε τῇ πατρίδι, ἐὰν
μὴ θεία τις ξυμβῇ τύχη. Μανθάνω,
ἔφη· ἐν ᾗ νῦν διήλθομεν οἰκίζοντες
πόλει λέγεις, τῇ ἐν λόγοις κειμένῃ ἐπεὶ γῆς
B γε | οὐδαμοῦ οἶμαι αὐτὴν εἶναι. Ἀλλ᾿, ἦν δ᾿
ἐγώ, ἐν οὐρανῷ ἴσως παράδειγμα ἀνάκειται τῷ

The ideal Republic is possible in each one's soul.

βουλομένῳ ὁρᾶν καὶ ὁρῶντι εἰς αὑτὸν κατοικίζειν. 592
διαφέρει δὲ οὐδέν, εἴτε που ἔστιν εἴτε ἔσται·
τὰ γὰρ ταύτης μόνης ἂν πράξειεν, ἄλλης δὲ
οὐδεμιᾶς. Εἰκός γ', ἔφη.

X

The Apocalypse of Er.

Ἃ μὲν τοίνυν, ἦν δ' ἐγώ, ζῶντι τῷ δικαίῳ
παρὰ θεῶν τε καὶ ἀνθρώπων | ἆθλά τε καὶ 614
μισθοὶ καὶ δῶρα γίγνεται πρὸς ἐκείνοις τοῖς
ἀγαθοῖς οἷς αὐτὴ παρείχετο ἡ δικαιοσύνη,
τοιαῦτ' ἂν εἴη. Καὶ μάλ', ἔφη, καλά τε καὶ
βέβαια. Ταῦτα τοίνυν, ἦν δ' ἐγώ, οὐδέν ἐστι
πλήθει οὐδὲ μεγέθει πρὸς ἐκεῖνα, ἃ τελευτήσαντα
ἑκάτερον περιμένει. χρὴ δ' αὐτὰ ἀκοῦσαι, ἵνα
τελέως ἑκάτερος αὐτῶν ἀπειλήφῃ τὰ ὑπὸ τοῦ
λόγου ὀφειλόμενα ἀκοῦσαι. Λέγοις ἄν, ἔφη,
ὡς οὐ πολλὰ ἄλλ' ἥδιον | ἀκούοντι. Ἀλλ' οὐ B
μέντοι σοι, ἦν δ' ἐγώ, Ἀλκίνου γε ἀπόλογον
ἐρῶ, ἀλλ' ἀλκίμου μὲν ἀνδρός, Ἠρὸς τοῦ Ἀρ-
μενίου, τὸ γένος Παμφύλου· ὅς ποτε ἐν πολέμῳ
τελευτήσας, ἀναιρεθέντων δεκαταίων
τῶν νεκρῶν ἤδη διεφθαρμένων, ὑγιὴς
μὲν ἀνῃρέθη, κομισθεὶς δ' οἴκαδε μέλ-
λων θάπτεσθαι δωδεκαταῖος ἐπὶ τῇ πυρᾷ κεί-
μενος ἀνεβίω, ἀναβιοὺς δ' ἔλεγεν ἃ ἐκεῖ ἴδοι.
ἔφη δέ, ἐπειδὴ οὗ ἐκβῆναι τὴν ψυχήν, πορεύ-
εσθαι μετὰ πολλῶν, καὶ ἀφικνεῖσθαι | σφᾶς εἰς C
τόπον τινὰ δαιμόνιον, ἐν ᾧ τῆς τε γῆς δύ'

The apocalypse of Er. His tale.

The meeting-place for judgment.

614 εἶναι χάσματα ἐχομένω ἀλλήλοιν καὶ
τοῦ οὐρανοῦ αὖ ἐν τῷ ἄνω ἄλλα
καταντικρύ· δικαστὰς δὲ μεταξὺ τού-
των καθῆσθαι, οὕς, ἐπειδὴ διαδικάσειαν, τοὺς
μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς δεξιάν
τε καὶ ἄνω διὰ τοῦ οὐρανοῦ, σημεῖα περιά-
ψαντας τῶν δεδικασμένων ἐν τῷ πρόσθεν, τοὺς
δὲ ἀδίκους τὴν εἰς ἀριστεράν τε καὶ κάτω,
ἔχοντας καὶ τούτους ἐν τῷ ὄπισθεν σημεῖα |
D πάντων ὧν ἔπραξαν. ἑαυτοῦ δὲ προσελθόντος
εἰπεῖν ὅτι δέοι αὐτὸν ἄγγελον ἀνθρώποις γενέ-
σθαι τῶν ἐκεῖ καὶ διακελεύοιντό οἱ ἀκούειν τε
καὶ θεᾶσθαι πάντα τὰ ἐν τῷ τόπῳ. ὁρᾶν δὴ
ταύτῃ μὲν καθ᾽ ἑκάτερον τὸ χάσμα τοῦ οὐρανοῦ
τε καὶ τῆς γῆς ἀπιούσας τὰς ψυχάς, ἐπειδὴ
αὐταῖς δικασθείη, κατὰ δὲ τὼ ἑτέρω ἐκ μὲν τοῦ
ἀνιέναι ἐκ τῆς γῆς μεστὰς αὐχμοῦ τε καὶ
κόνεως, ἐκ δὲ τοῦ ἑτέρου καταβαίνειν ἑτέρας
E ἐκ τοῦ οὐρανοῦ καθαράς· καὶ | τὰς ἀεὶ ἀφι-
κνουμένας ὥσπερ ἐκ πολλῆς πορείας φαίνεσθαι
ἥκειν, καὶ ἁσμένας εἰς τὸν λειμῶνα ἀπιούσας
οἷον ἐν πανηγύρει κατασκηνᾶσθαι, καὶ ἀσπά-
ζεσθαί τε ἀλλήλας ὅσαι γνώριμαι, καὶ πυνθά-
νεσθαι τάς τε ἐκ τῆς γῆς ἡκούσας παρὰ τῶν
ἑτέρων τὰ ἐκεῖ καὶ τὰς ἐκ τοῦ οὐρανοῦ τὰ
παρ᾽ ἐκείναις, διηγεῖσθαι δὲ ἀλλήλαις τὰς μὲν
ὀδυρομένας τε καὶ κλαιούσας, ἀναμιμνῃσκομένας |
615 ὅσα τε καὶ οἷα πάθοιεν καὶ ἴδοιεν ἐν τῇ ὑπὸ
γῆς πορείᾳ (εἶναι δὲ τὴν πορείαν χιλιέτη) τὰς
δ᾽ αὖ ἐκ τοῦ οὐρανοῦ εὐπαθίας διηγεῖσθαι καὶ
θέας ἀμηχάνους τὸ κάλλος. τὰ μὲν οὖν πολλά,

ὦ Γλαύκων, πολλοῦ χρόνου διηγήσασθαι· τὸ 615
δ' οὖν κεφάλαιον ἔφη τόδε εἶναι· ὅσα πώποτέ
τινα ἠδίκησαν καὶ ὅσους ἕκαστοι,
ὑπὲρ ἁπάντων δίκην δεδωκέναι ἐν
μέρει, ὑπὲρ ἑκάστου δεκάκις (τοῦτο δ' εἶναι
κατὰ ἑκατονταετηρίδα ἑκάστην, ὡς | βίου ὄντος B
τοσούτου τοῦ ἀνθρωπίνου), ἵνα δεκαπλάσιον τὸ
ἔκτισμα τοῦ ἀδικήματος ἐκτίνοιεν· καὶ οἷον εἴ
τινες πολλῶν θανάτων ἦσαν αἴτιοι, ἢ πόλεις
προδόντες ἢ στρατόπεδα καὶ εἰς δουλείας ἐμβε-
βληκότες, ἤ τινος ἄλλης κακουχίας μεταίτιοι,
πάντων τούτων δεκαπλασίας ἀλγηδόνας ὑπὲρ
ἑκάστου κομίσαιντο, καὶ αὖ εἴ τινας εὐεργεσίας
εὐεργετηκότες καὶ δίκαιοι καὶ ὅσιοι
γεγονότες εἶεν, κατὰ ταὐτὰ τὴν ἀξίαν
κομίζοιντο. τῶν | δὲ εὐθὺς γενομένων καὶ C
ὀλίγον χρόνον βιούντων πέρι ἄλλα ἔλεγεν οὐκ
ἄξια μνήμης· εἰς δὲ θεοὺς ἀσεβείας τε καὶ εὐ-
σεβείας (καὶ γονέας), καὶ αὐτόχειρος φόνου, μείζους
ἔτι τοὺς μισθοὺς διηγεῖτο.

Tenfold penalty, tenfold reward.

Ἔφη γὰρ δὴ παραγενέσθαι ἐρωτωμένῳ ἑτέρῳ
ὑπὸ ἑτέρου, ὅπου εἴη Ἀρδιαῖος ὁ
μέγας. ὁ δὲ Ἀρδιαῖος οὗτος τῆς
Παμφυλίας ἔν τινι πόλει τύραννος ἐγεγόνει,
ἤδη χιλιοστὸν ἔτος εἰς ἐκεῖνον τὸν χρόνον,
γέροντά τε πατέρα ἀποκτείνας καὶ | πρεσβύ- D
τερον ἀδελφόν, καὶ ἄλλα δὴ πολλά τε καὶ
ἀνόσια εἰργασμένος, ὡς ἐλέγετο. ἔφη οὖν τὸν
ἐρωτώμενον εἰπεῖν, Οὐχ ἥκει, φάναι, οὐδ' ἂν
ἥξει δεῦρο. ἐθεασάμεθα γὰρ οὖν δὴ καὶ τοῦτο
τῶν δεινῶν θεαμάτων· ἐπειδὴ ἐγγὺς τοῦ στομίου

The fate of Ardiaeus.

615 ἦμεν μέλλοντες ἀνιέναι καὶ τἆλλα πάντα πεπον-
θότες, ἐκεῖνόν τε κατείδομεν ἐξαίφνης καὶ ἄλλους,
σχεδόν τι αὐτῶν τοὺς πλείστους τυράννους—
ἦσαν δὲ καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρ-
E τηκότων· οὓς οἰομένους | ἤδη ἀναβήσεσθαι οὐκ
ἐδέχετο τὸ στόμιον, ἀλλ' ἐμυκᾶτο, ὁπότε τις
τῶν οὕτως ἀνιάτως ἐχόντων εἰς πονηρίαν ἢ μὴ
ἱκανῶς δεδωκὼς δίκην ἐπιχειροῖ ἀνιέναι. ἐνταῦθα
δὴ ἄνδρες, ἔφη, ἄγριοι, διάπυροι ἰδεῖν, παρ-
εστῶτες καὶ καταμανθάνοντες τὸ φθέγμα τοὺς
μὲν διαλαβόντες ἦγον, τὸν δὲ Ἀρδιαῖον καὶ
ἄλλους συμποδίσαντες χεῖράς τε καὶ πόδας |
616 καὶ κεφαλήν, καταβαλόντες καὶ ἐκδείραντες,
εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων
κνάπτοντες καὶ τοῖς ἀεὶ παριοῦσι σημαίνοντες,
ὧν ἕνεκά τε καὶ εἰς ὅ τι [τὸν τάρταρον] ἐμπε-
σούμενοι ἄγοιντο. ἔνθα δὴ φόβων, ἔφη, πολλῶν
καὶ παντοδαπῶν σφίσι γεγονότων, τοῦτον ὑπερ-
βάλλειν, μὴ γένοιτο ἑκάστῳ τὸ φθέγμα, ὅτε
ἀναβαίνοι, καὶ ἀσμενέστατα ἕκαστον σιγήσαντος
ἀναβῆναι.

Καὶ τὰς μὲν δὴ δίκας τε καὶ τιμωρίας
B τοιαύτας | τινὰς εἶναι, καὶ αὖ τὰς εὐεργεσίας
ταύταις ἀντιστρόφους· ἐπειδὴ δὲ τοῖς ἐν τῷ
λειμῶνι ἑκάστοις ἑπτὰ ἡμέραι γένοιντο, ἀναστάν-
τας ἐντεῦθεν δεῖν τῇ ὀγδόῃ πορεύεσθαι, καὶ
ἀφικνεῖσθαι τεταρταίους ὅθεν καθορᾶν
ἄνωθεν διὰ παντὸς τοῦ οὐρανοῦ καὶ
γῆς τεταμένον φῶς εὐθύ, οἷον κίονα,
μάλιστα τῇ ἴριδι προσφερῆ, λαμπρότερον δὲ καὶ
καθαρώτερον. εἰς ὃ ἀφικέσθαι προελθόντας

Forward to the pillar of light and spindle of Necessity.

ἡμερησίαν ὁδόν, καὶ ἰδεῖν αὐτόθι κατὰ μέσον | 616
τὸ φῶς ἐκ τοῦ οὐρανοῦ τὰ ἄκρα αὐτοῦ τῶν C
δεσμῶν τεταμένα· εἶναι γὰρ τοῦτο τὸ φῶς
ξύνδεσμον τοῦ οὐρανοῦ, οἷον τὰ ὑποζώματα
τῶν τριήρων, οὕτω πᾶσαν ξυνέχον τὴν περιφο-
ράν· ἐκ δὲ τῶν ἄκρων τεταμένον Ἀνάγκης
ἄτρακτον, δι᾽ οὗ πάσας ἐπιστρέφεσθαι τὰς
περιφοράς· οὗ τὴν μὲν ἠλακάτην τε καὶ τὸ
ἄγκιστρον εἶναι ἐξ ἀδάμαντος, τὸν δὲ σφόνδυ-
λον μεικτὸν ἔκ τε τούτου καὶ ἄλλων γενῶν.

* * * * *

Στρέφεσθαι δὲ αὐτὸν ἐν τοῖς τῆς Ἀνάγκης 617
γόνασιν. ἐπὶ δὲ τῶν κύκλων αὐτοῦ ἄνωθεν B
ἐφ᾽ ἑκάστου βεβηκέναι Σειρῆνα συμπεριφερομέ-
νην, φωνὴν μίαν ἱεῖσαν—ἕνα τόνον· ἐκ πασῶν
δὲ ὀκτὼ οὐσῶν μίαν ἁρμονίαν ξυμφωνεῖν.
ἄλλας δὲ καθημένας πέριξ δι᾽ ἴσου τρεῖς, ἐν
θρόνῳ | ἑκάστην, θυγατέρας τῆς Ἀνάγκης, Μοί- C
ρας, λευχειμονούσας, στέμματα ἐπὶ τῶν κεφαλῶν
ἐχούσας, Λάχεσίν τε καὶ Κλωθὼ
καὶ Ἄτροπον, ὑμνεῖν πρὸς τὴν τῶν

The three Fates.

Σειρήνων ἁρμονίαν, Λάχεσιν μὲν τὰ γεγονότα,
Κλωθὼ δὲ τὰ ὄντα, Ἄτροπον δὲ τὰ μέλλοντα.
καὶ τὴν μὲν Κλωθὼ τῇ δεξιᾷ χειρὶ ἐφαπτομένην
συνεπιστρέφειν τοῦ ἀτράκτου τὴν ἔξω περιφοράν,
διαλείπουσαν χρόνον, τὴν δὲ Ἄτροπον τῇ
ἀριστερᾷ τὰς ἐντὸς αὖ ὡσαύτως· τὴν δὲ Λάχε-
σιν | ἐν μέρει ἑκατέρας ἑκατέρᾳ τῇ χειρὶ ἐφά- D
πτεσθαι. σφᾶς οὖν, ἐπειδὴ ἀφικέσθαι, εὐθὺς
δεῖν ἰέναι πρὸς τὴν Λάχεσιν. προφήτην οὖν
τινα σφᾶς πρῶτον μὲν ἐν τάξει διαστῆσαι,

617 *Lachesis gives to choose.*

ἔπειτα λαβόντα ἐκ τῶν τῆς Λαχέ-
σεως γονάτων κλήρους τε καὶ βίων
παραδείγματα, ἀναβάντα ἐπί τι βῆμα ὑψηλὸν
εἰπεῖν· Ἀνάγκης θυγατρὸς κόρης Λαχέσεως
λόγος. ψυχαὶ ἐφήμεροι, ἀρχὴ ἄλλης περιόδου
E θνητοῦ γένους θανατηφόρου. οὐχ ὑμᾶς | δαίμων
λήξεται, ἀλλ' ὑμεῖς δαίμονα αἱρήσεσθε. πρῶ-
τος δ' ὁ λαχὼν πρῶτος αἱρείσθω βίον, ᾧ
συνέσται ἐξ ἀνάγκης. ἀρετὴ δὲ ἀδέσποτον,
ἣν τιμῶν καὶ ἀτιμάζων πλέον καὶ ἔλαττον
αὐτῆς ἕκαστος ἕξει. αἰτία ἑλομένου· θεὸς
ἀναίτιος. ταῦτα εἰπόντα ῥῖψαι ἐπὶ πάντας
τοὺς κλήρους, τὸν δὲ παρ' αὑτὸν πεσόντα
ἕκαστον ἀναιρεῖσθαι, πλὴν οὗ· ἓ δὲ οὐκ ἐᾶν·
τῷ δὲ ἀνελομένῳ δῆλον εἶναι, ὁπόστος εἰλήχειν· |

618 *Lives of all varieties before the souls.*

μετὰ δὲ τοῦτο αὖθις τὰ τῶν βίων
παραδείγματα εἰς τὸ πρόσθεν σφῶν
θεῖναι ἐπὶ τὴν γῆν, πολὺ πλείω τῶν
παρόντων, εἶναι δὲ παντοδαπά· ζῴων τε γὰρ
πάντων βίους καὶ δὴ καὶ τοὺς ἀνθρωπίνους
ἅπαντας· τυραννίδας τε γὰρ ἐν αὐτοῖς εἶναι,
τὰς μὲν διατελεῖς, τὰς δὲ καὶ μεταξὺ δια-
φθειρομένας καὶ εἰς πενίας τε καὶ φυγὰς καὶ
εἰς πτωχείας τελευτώσας· εἶναι δὲ καὶ δοκίμων
ἀνδρῶν βίους, τοὺς μὲν ἐπὶ εἴδεσιν καὶ κατὰ
B κάλλη καὶ τὴν ἄλλην ἰσχύν τε | καὶ ἀγωνίαν,
τοὺς δ' ἐπὶ γένεσιν καὶ προγόνων ἀρεταῖς, καὶ
ἀδοκίμων κατὰ ταὐτά, ὡσαύτως δὲ καὶ γυναικῶν·
ψυχῆς δὲ τάξιν οὐκ ἐνεῖναι διὰ τὸ ἀναγκαίως
ἔχειν ἄλλον ἑλομένην βίον ἀλλοίαν γίγνεσθαι·
τὰ δ' ἄλλα ἀλλήλοις τε καὶ πλούτοις καὶ

πενίαις, τὰ δὲ νόσοις, τὰ δὲ ὑγιείαις μεμῖχθαι, 618
τὰ δὲ καὶ μεσοῦν τούτων.—Ἔνθα δή, ὡς ἔοικεν, ὦ φίλε Γλαύκων, ὁ πᾶς κίνδυνος ἀνθρώπῳ, καὶ διὰ ταῦτα μάλιστα ἐπιμελητέον, ὅπως ἕκαστος ἡμῶν | τῶν ἄλλων μαθημάτων C
ἀμελήσας τούτου τοῦ μαθήματος καὶ ζητητὴς καὶ μαθητὴς ἔσται, ἐάν ποθεν οἷόστ' ᾖ μαθεῖν καὶ ἐξευρεῖν, τίς αὐτὸν ποιήσει δυνατὸν καὶ ἐπιστήμονα, βίον καὶ χρηστὸν καὶ πονηρὸν διαγιγνώσκοντα, τὸν βελτίω ἐκ τῶν δυνατῶν ἀεὶ πανταχοῦ αἱρεῖσθαι· ἀναλογιζόμενον πάντα τὰ νῦν δὴ ῥηθέντα, ξυντιθέμενα ἀλλήλοις καὶ διαιρούμενα, πρὸς ἀρετὴν βίου πῶς ἔχει, εἰδέναι, τί κάλλος πενίᾳ ἢ πλούτῳ κραθὲν | καὶ μετὰ ποίας τινὸς ψυχῆς D
ἕξεως κακὸν ἢ ἀγαθὸν ἐργάζεται, καὶ τί εὐγένειαι καὶ δυσγένειαι καὶ ἰδιωτεῖαι καὶ ἀρχαὶ καὶ ἰσχύες καὶ ἀσθένειαι καὶ εὐμαθίαι καὶ δυσμαθίαι καὶ πάντα τὰ τοιαῦτα τῶν φύσει περὶ ψυχὴν ὄντων καὶ τῶν ἐπικτήτων τί ξυγκεραννύμενα πρὸς ἄλληλα ἐργάζεται, ὥστε ἐξ ἁπάντων αὐτῶν δυνατὸν εἶναι συλλογισάμενον αἱρεῖσθαι, πρὸς τὴν τῆς ψυχῆς φύσιν ἀποβλέποντα, τόν τε χείρω καὶ τὸν ἀμείνω βίον, χείρω | μὲν καλοῦντα ὃς αὐτὴν ἐκεῖσε ἄξει, εἰς E
τὸ ἀδικωτέραν γίγνεσθαι, ἀμείνω δὲ ὅστις εἰς τὸ δικαιοτέραν, τὰ δὲ ἄλλα πάντα χαίρειν ἐάσει· ἑωράκαμεν γὰρ ὅτι ζῶντί τε καὶ τελευτήσαντι αὕτη κρατίστη αἵρεσις. ἀδαμαντίνως | δὴ δεῖ ταύτην τὴν δόξαν ἔχοντα εἰς Ἅιδου 619
ἰέναι, ὅπως ἂν ᾖ καὶ ἐκεῖ ἀνέκπληκτος ὑπὸ

The dangers of the choice.

619 πλούτων τε καὶ τῶν τοιούτων κακῶν, καὶ μὴ ἐμπεσὼν εἰς τυραννίδας καὶ ἄλλας τοιαύτας πράξεις πολλὰ μὲν ἐργάσηται καὶ ἀνήκεστα κακά, ἔτι δὲ αὐτὸς μείζω πάθῃ ἀλλὰ γνῷ τὸν μέσον ἀεὶ τῶν τοιούτων βίον αἱρεῖσθαι καὶ φεύγειν τὰ ὑπερβάλλοντα ἑκατέρωσε καὶ ἐν τῷδε τῷ βίῳ κατὰ τὸ δυνατὸν καὶ ἐν παντὶ
B τῷ ἔπειτα· οὕτω γὰρ εὐδαιμονέστατος | γίγνεται ἄνθρωπος.

Καὶ δὴ οὖν καὶ τότε ὁ ἐκεῖθεν ἄγγελος ἤγγελλε τὸν μὲν προφήτην οὕτως εἰπεῖν· Καὶ τελευταίῳ ἐπιόντι, ξὺν νῷ ἑλομένῳ, συντόνως ζῶντι κεῖται βίος ἀγαπητός, οὐ κακός· μήτε ὁ ἄρχων αἱρέσεως ἀμελείτω μήτε ὁ τελευτῶν ἀθυμείτω. εἰπόντος δὲ ταῦτα τὸν πρῶτον λαχόντα ἔφη εὐθὺς ἐπιόντα τὴν μεγίστην τυραννίδα ἑλέσθαι, καὶ ὑπὸ ἀφροσύνης τε καὶ λαιμαργίας οὐ πάντα
C ἱκανῶς ἀνασκεψάμενον ἑλέσθαι, | ἀλλ' αὐτὸν λαθεῖν ἐνοῦσαν εἱμαρμένην, παίδων αὑτοῦ βρώσεις καὶ ἄλλα κακά· ἐπειδὴ δὲ κατὰ σχολὴν σκέψασθαι, κόπτεσθαί τε καὶ ὀδύρεσθαι τὴν αἵρεσιν, οὐκ ἐμμένοντα τοῖς προρρηθεῖσιν ὑπὸ τοῦ προφήτου· οὐ γὰρ ἑαυτὸν αἰτιᾶσθαι τῶν κακῶν, ἀλλὰ τύχην τε καὶ δαίμονας καὶ πάντα μᾶλλον ἀνθ' ἑαυτοῦ. εἶναι δὲ αὐτὸν τῶν ἐκ τοῦ οὐρανοῦ ἡκόντων, ἐν τεταγμένῃ πολιτείᾳ ἐν τῷ προτέρῳ βίῳ βεβιωκότα, ἔθει ἄνευ
D φιλοσοφίας ἀρετῆς | μετειληφότα. ὡς δὲ καὶ εἰπεῖν, οὐκ ἐλάττους εἶναι ἐν τοῖς τοιούτοις ἁλισκομένους τοὺς ἐκ τοῦ οὐρανοῦ ἥκοντας, ἅτε

How they chose,

πόνων ἀγυμνάστους· τῶν δ' ἐκ τῆς γῆς τοὺς 619
πολλούς, ἅτε αὐτούς τε πεπονηκότας ἄλλους
τε ἑωρακότας, οὐκ ἐξ ἐπιδρομῆς τὰς αἱρέσεις
ποιεῖσθαι. διὸ δὴ καὶ μεταβολὴν τῶν κακῶν
καὶ τῶν ἀγαθῶν ταῖς πολλαῖς τῶν ψυχῶν
γίγνεσθαι, καὶ διὰ τὴν τοῦ κλήρου τύχην.
ἐπεὶ εἴ τις ἀεί, ὁπότε εἰς τὸν ἐνθάδε βίον
ἀφικνοῖτο, ὑγιῶς φιλοσοφοῖ | καὶ ὁ κλῆρος E
αὐτῷ τῆς αἱρέσεως μὴ ἐν τελευταίοις πίπτοι,
κινδυνεύει ἐκ τῶν ἐκεῖθεν ἀπαγγελλομένων οὐ
μόνον ἐνθάδε εὐδαιμονεῖν ἄν, ἀλλὰ καὶ τὴν
ἐνθένδε ἐκεῖσε καὶ δεῦρο πάλιν πορείαν οὐκ ἂν
χθονίαν καὶ τραχεῖαν πορεύεσθαι, ἀλλὰ λείαν
τε καὶ οὐρανίαν. ταύτην γὰρ δὴ ἔφη τὴν
θέαν ἀξίαν εἶναι ἰδεῖν, ὡς ἕκασται αἱ ψυχαὶ
ᾑροῦντο τοὺς βίους· | ἐλεεινήν τε γὰρ ἰδεῖν 620
εἶναι καὶ γελοίαν καὶ θαυμασίαν. κατὰ συνή-
θειαν γὰρ τοῦ προτέρου βίου τὰ πολλὰ αἱρεῖ-
σθαι. ἰδεῖν μὲν γὰρ ψυχὴν ἔφη τήν ποτε
Ὀρφέως γενομένην κύκνου βίον αἱ-
ρουμένην, μίσει τοῦ γυναικείου γένους
διὰ τὸν ὑπ' ἐκείνων θάνατον οὐκ
ἐθέλουσαν ἐν γυναικὶ γεννηθεῖσαν γενέσθαι·
ἰδεῖν δὲ τὴν Θαμύρου ἀηδόνος ἑλομένην· ἰδεῖν
δὲ καὶ κύκνον μεταβάλλοντα εἰς ἀνθρωπίνου
βίου αἵρεσιν, καὶ ἄλλα ζῷα μουσικὰ ὡσαύτως.
| εἰκοστὴν δὲ λαχοῦσαν ψυχὴν ἑλέσθαι λέοντος B
βίον· εἶναι δὲ τὴν Αἴαντος τοῦ Τελαμωνίου,
φεύγουσαν ἄνθρωπον γενέσθαι, μεμνημένην τῆς
τῶν ὅπλων κρίσεως· τὴν δ' ἐπὶ τούτῳ Ἀγαμέμ-
νονος· ἔχθρᾳ δὲ καὶ ταύτην τοῦ ἀνθρωπίνου

For example, Orpheus, Ajax, Odysseus.

620 γένους διὰ τὰ πάθη ἀετοῦ διαλλάξαι βίον. ἐν μέσοις δὲ λαχοῦσαν τὴν Ἀταλάντης ψυχήν, κατιδοῦσαν μεγάλας τιμὰς ἀθλητοῦ ἀνδρός, οὐ
C δύνασθαι παρελθεῖν, ἀλλὰ λαβεῖν. μετὰ | δὲ ταύτην ἰδεῖν τὴν Ἐπειοῦ τοῦ Πανοπέως εἰς τεχνικῆς γυναικὸς ἰοῦσαν φύσιν· πόρρω δ' ἐν ὑστάτοις ἰδεῖν τὴν τοῦ γελωτοποιοῦ Θερσίτου πίθηκον ἐνδυομένην· κατὰ τύχην δὲ τὴν Ὀδυσσέως, λαχοῦσαν πασῶν ὑστάτην, αἱρησομένην ἰέναι· μνήμῃ δὲ τῶν προτέρων πόνων φιλοτιμίας λελωφηκυῖαν ζητεῖν περιιοῦσαν χρόνον πολὺν βίον ἀνδρὸς ἰδιώτου ἀπράγμονος, καὶ μόγις εὑρεῖν κείμενόν που καὶ παρημελημένον
D ὑπὸ τῶν ἄλλων, καὶ εἰπεῖν | ἰδοῦσαν ὅτι τὰ αὐτὰ ἂν ἔπραξεν καὶ πρώτη λαχοῦσα, καὶ ἁσμένην ἑλέσθαι. καὶ ἐκ τῶν ἄλλων δὴ θηρίων ὡσαύτως εἰς ἀνθρώπους ἰέναι καὶ εἰς ἄλληλα, τὰ μὲν ἄδικα εἰς τὰ ἄγρια, τὰ δὲ δίκαια εἰς τὰ ἥμερα μεταβάλλοντα, καὶ πάσας μίξεις μίγνυσθαι. ἐπειδὴ δ' οὖν πάσας τὰς ψυχὰς τοὺς βίους ᾑρῆσθαι, ὥσπερ ἔλαχον, ἐν τάξει προσιέναι πρὸς τὴν Λάχεσιν· ἐκείνην δ' ἑκάστῳ, ὃν εἵλετο δαίμονα,

Assignment to each of his genius.

E τοῦτον φύλακα ξυμπέμπειν | τοῦ βίου καὶ ἀποπληρωτὴν τῶν αἱρεθέντων. ὃν πρῶτον μὲν ἄγειν αὐτὴν πρὸς τὴν Κλωθὼ ὑπὸ τὴν ἐκείνης χεῖρά τε καὶ ἐπιστροφὴν τῆς τοῦ ἀτράκτου δίνης, κυροῦντα ἣν λαχὼν εἵλετο μοῖραν· ταύτης δ' ἐφαψάμενον αὖθις ἐπὶ τὴν τῆς Ἀτρόπου ἄγειν νῆσιν, ἀμετάστροφα τὰ ἐπικλωσθέντα ποιοῦντα· ἐντεῦ-

Clotho and Atropus do their work.

θεν δὲ δὴ ἀμεταστρεπτὶ ὑπὸ τὸν τῆς | Ἀνάγκης 621 ἰέναι θρόνον, καὶ δι᾽ ἐκείνου διεξελθόντα, ἐπειδὴ καὶ οἱ ἄλλοι διῆλθον, πορεύεσθαι ἅπαντας εἰς τὸ τῆς Λήθης πεδίον διὰ καύματός τε καὶ πνίγους δεινοῦ· καὶ γὰρ εἶναι αὐτὸ κενὸν δένδρων τε καὶ ὅσα γῆ φύει. σκηνᾶσθαι οὖν σφᾶς ἤδη ἑσπέρας γιγνομένης παρὰ τὸν Ἀμέλητα ποταμόν, οὗ τὸ ὕδωρ ἀγγεῖον οὐδὲν στέγειν. μέτρον μὲν οὖν τι τοῦ ὕδατος πᾶσιν ἀναγκαῖον εἶναι πιεῖν, τοὺς δὲ φρονήσει μὴ σῳζομένους πλέον πίνειν τοῦ μέτρου· τὸν δὲ ἀεὶ πιόντα | πάντων ἐπιλανθάνεσθαι. ἐπειδὴ B δὲ κοιμηθῆναι καὶ μέσας νύκτας γενέσθαι, βροντήν τε καὶ σεισμὸν γενέσθαι, καὶ ἐντεῦθεν ἐξαπίνης ἄλλον ἄλλῃ φέρεσθαι ἄνω εἰς τὴν γένεσιν, ᾄττοντας ὥσπερ ἀστέρας. αὐτὸς δὲ τοῦ μὲν ὕδατος κωλυθῆναι πιεῖν· ὅπῃ μέντοι καὶ ὅπως εἰς τὸ σῶμα ἀφίκοιτο, οὐκ εἰδέναι, ἀλλ᾽ ἐξαίφνης ἀναβλέψας ἰδεῖν ἕωθεν αὑτὸν κείμενον ἐπὶ τῇ πυρᾷ.

The river of Forgetfulness.

Καὶ οὕτως, ὦ Γλαύκων, μῦθος ἐσώθη καὶ οὐκ ἀπώλετο, καὶ ἡμᾶς | ἂν σώσειεν, C ἂν πειθώμεθα αὐτῷ, καὶ τὸν τῆς Λήθης ποταμὸν εὖ διαβησόμεθα καὶ τὴν ψυχὴν οὐ μιανθησόμεθα. ἀλλ᾽ ἂν ἐμοὶ πειθώμεθα, νομίζοντες ἀθάνατον ψυχὴν καὶ δυνατὴν πάντα μὲν κακὰ ἀνέχεσθαι, πάντα δὲ ἀγαθά, τῆς ἄνω ὁδοῦ ἀεὶ ἑξόμεθα καὶ δικαιοσύνην μετὰ φρονήσεως παντὶ τρόπῳ ἐπιτηδεύσομεν, ἵνα καὶ ἡμῖν αὐτοῖς φίλοι ὦμεν καὶ τοῖς θεοῖς, αὐτοῦ τε μένοντες ἐνθάδε, καὶ ἐπειδὰν τὰ ἆθλα | αὐτῆς D

The final word.

621 *κομιζώμεθα, ὥσπερ οἱ νικηφόροι περιαγειρόμενοι, καὶ ἐνθάδε καὶ ἐν τῇ χιλιέτει πορείᾳ, ἣν διεληλύθαμεν, εὖ πράττωμεν.*

PHAEDRUS

Socrates in the Country.

SOCRATES. PHAEDRUS.

Ἀλλα ποῦ δὴ βούλει καθιζόμενοι ἀναγνῶμεν ; |

229 ΣΩ. *Δεῦρ' ἐκτραπόμενοι κατὰ τὸν Ἰλισσὸν ἴωμεν, εἶτα, ὅπου ἂν δόξῃ, ἐν ἡσυχίᾳ καθιζησόμεθα.*

The walk by the Ilissus.

ΦΑΙ. *Εἰς καιρόν, ὡς ἔοικεν, ἀνυπόδητος ὢν ἔτυχον· σὺ μὲν γὰρ δὴ ἀεί. ῥᾷστον οὖν ἡμῖν κατὰ τὸ ὑδάτιον βρέχουσι τοὺς πόδας ἰέναι, καὶ οὐκ ἀηδές, ἄλλως τε καὶ τήνδε τὴν ὥραν τοῦ ἔτους τε καὶ τῆς ἡμέρας.*

ΣΩ. *Πρόαγε δή, καὶ σκόπει ἅμα ὅπου καθιζησόμεθα.*

ΦΑΙ. *Ὁρᾷς οὖν ἐκείνην τὴν ὑψηλοτάτην πλάτανον ;*

ΣΩ. *Τί μήν ;*

B ΦΑΙ. *Ἐκεῖ* | *σκιά τ' ἐστὶν καὶ πνεῦμα μέτριον, καὶ πόα καθίζεσθαι ἤ, ἂν βουλώμεθα, κατακλινῆναι.*

ΣΩ. *Προάγοις ἄν.*

ΦΑΙ. *Εἰπέ μοι, ὦ Σώκρατες, οὐκ ἐνθένδε μέντοι ποθὲν ἀπὸ τοῦ Ἰλισσοῦ λέγεται ὁ Βορέας τὴν Ὠρείθυιαν ἁρπάσαι ;*

ΣΩ. Λέγεται γάρ. 229
ΦΑΙ. Ἆρ' οὖν ἐνθένδε; χαρίεντα γοῦν καὶ
καθαρὰ καὶ διαφανῆ τὰ ὑδάτια φαίνεται, καὶ
ἐπιτήδεια κόραις παίζειν παρ' αὐτά.
ΣΩ. Οὔκ, ἀλλὰ κάτωθεν ὅσον δύ' ἢ τρία
στάδια, | ᾗ πρὸς τὸ τῆς Ἄγρας διαβαίνομεν· C
καί πού τίς ἐστι βωμὸς αὐτόθι Βορέου.
ΦΑΙ. Οὐ πάνυ νενόηκα· ἀλλ' εἰπὲ πρὸς
Διός, ὦ Σώκρατες· σὺ τοῦτο τὸ μυθολόγημα
πείθει ἀληθὲς εἶναι;
ΣΩ. Ἀλλ' εἰ ἀπιστοίην, ὥσπερ οἱ σοφοί,
οὐκ ἂν ἄτοπος εἴην, εἶτα σοφιζό- The rationalists.
μενος φαίην αὐτὴν πνεῦμα Βορέου
κατὰ τῶν πλησίον πετρῶν σὺν Φαρμακείᾳ
παίζουσαν ὦσαι, καὶ οὕτω δὴ τελευτήσασαν
λεχθῆναι ὑπὸ τοῦ Βορέου ἀνάρπαστον | γεγονέ- D
ναι. (ἢ ἐξ Ἀρείου πάγου· λέγεται γὰρ αὖ καὶ
οὗτος ὁ λόγος, ὡς ἐκεῖθεν ἀλλ' οὐκ ἐνθένδε
ἡρπάσθη.) ἐγὼ δέ, ὦ Φαῖδρε, ἄλλως μὲν
τὰ τοιαῦτα χαρίεντα ἡγοῦμαι, λίαν δὲ δεινοῦ
καὶ ἐπιπόνου καὶ οὐ πάνυ εὐτυχοῦς ἀνδρός,
κατ' ἄλλο μὲν οὐδέν, ὅτι δ' αὐτῷ ἀνάγκη
μετὰ τοῦτο τὸ τῶν Ἱπποκενταύρων εἶδος
ἐπανορθοῦσθαι, καὶ αὖθις τὸ τῆς Χιμαίρας·
καὶ ἐπιρρεῖ δὲ ὄχλος τοιούτων Γοργόνων καὶ
Πηγάσων καὶ ἄλλων ἀμηχάνων πλήθει τε καὶ
| ἀτοπίᾳ τερατολόγων τινῶν φύσεων· αἷς εἴ E
τις ἀπιστῶν προσβιβᾷ κατὰ τὸ εἰκὸς ἕκαστον,
ἅτε ἀγροίκῳ τινὶ σοφίᾳ χρώμενος, πολλῆς αὐτῷ
σχολῆς δεήσει. ἐμοὶ δὲ πρὸς αὐτὰ οὐδαμῶς
ἐστι σχολή. τὸ δὲ αἴτιον, ὦ φίλε, τούτου

τόδε· οὐ δύναμαί πω κατὰ τὸ Δελφικὸν γραμμα γνῶναι ἐμαυτόν· γελοῖον δέ μοι φαίνεται, | 230 τοῦτο ἔτι ἀγνοοῦντα, τὰ ἀλλότρια σκοπεῖν. ὅθεν δὴ χαίρειν ἐάσας ταῦτα, πειθόμενος δὲ τῷ νομιζομένῳ περὶ αὐτῶν, ὃ νῦν δὴ ἔλεγον, σκοπῶ οὐ ταῦτα ἀλλ' ἐμαυτόν, εἴτε τι θηρίον τυγχάνω Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον, θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον. ἀτάρ, ὦ ἑταῖρε, μεταξὺ τῶν λόγων, ἆρ' οὐ τόδε ἦν τὸ δένδρον, ἐφ' ὅπερ ἦγες ἡμᾶς;

B ΦΑΙ. Τοῦτο | μὲν οὖν αὐτό.

ΣΩ. Νὴ τὴν Ἥραν, καλή γε ἡ καταγωγή.

The scenery fair,

ἥ τε γὰρ πλάτανος αὕτη μάλ' ἀμφιλαφής τε καὶ ὑψηλή, τοῦ τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον, καὶ ὡς ἀκμὴν ἔχει τῆς ἄνθης, ὡς ἂν εὐωδέστατον παρέχοι τὸν τόπον· ἥ τε αὖ πηγὴ χαριεστάτη ὑπὸ τῆς πλατάνου ῥεῖ μάλα ψυχροῦ ὕδατος, ὥς γε τῷ ποδὶ τεκμήρασθαι· Νυμφῶν τέ τινων καὶ Ἀχελῴου ἱερὸν ἀπὸ τῶν κορῶν τε καὶ C ἀγαλμάτων ἔοικεν εἶναι. εἰ δ' αὖ | βούλει, τὸ εὔπνουν τοῦ τόπου ὡς ἀγαπητὸν καὶ σφόδρα ἡδύ· θερινόν τε καὶ λιγυρὸν ὑπηχεῖ τῷ τῶν τεττίγων χορῷ. πάντων δὲ κομψότατον τὸ τῆς πόας, ὅτι ἐν ἠρέμα προσάντει ἱκανὴ πέφυκε κατακλινέντι τὴν κεφαλὴν παγκάλως ἔχειν. ὥστε ἄριστά σοι ἐξενάγηται, ὦ φίλε Φαῖδρε.

ΦΑΙ. Σὺ δέ γε, ὦ θαυμάσιε, ἀτοπώτατός τις φαίνει. ἀτεχνῶς γάρ, ὃ λέγεις, ξεναγουμένῳ

τινὶ καὶ οὐκ ἐπιχωρίῳ ἔοικας· οὕτως ἐκ τοῦ 230
ἄστεως οὔτ' εἰς | τὴν ὑπερορίαν ἀποδημεῖς, οὔτ' D
ἔξω τείχους ἔμοιγε δοκεῖς τὸ παράπαν ἐξιέναι.

ΣΩ. Συγγίγνωσκέ μοι, ὦ ἄριστε. φιλομαθὴς
γάρ εἰμι. τὰ μὲν οὖν χωρία καὶ τὰ
δένδρα οὐδέν μ' ἐθέλει διδάσκειν, οἱ
δ' ἐν τῷ ἄστει ἄνθρωποι. σὺ μέντοι
δοκεῖς μοι τῆς ἐξόδου τὸ φάρμακον ηὑρηκέναι.
ὥσπερ γὰρ οἱ τὰ πεινῶντα θρέμματα θαλλὸν
ἤ τινα καρπὸν προσείοντες ἄγουσιν, σὺ ἐμοὶ
λόγους οὕτω προτείνων ἐν βιβλίοις τήν τε
Ἀττικὴν φαίνει | περιάξειν ἅπασαν καὶ ὅποι E
ἂν ἄλλοσε βούλῃ. νῦν οὖν ἐν τῷ παρόντι
δεῦρ' ἀφικόμενος ἐγὼ μέν μοι δοκῶ κατακεῖ-
σθαι, σὺ δ' ἐν ὁποίῳ σχήματι οἴει ῥᾷστα
ἀναγνώσεσθαι, τοῦτο ἑλόμενος ἀναγίγνωσκε.

but trees will not teach as men.

ΦΑΙ. Ἄκουε δή.

MENEXENUS

The Call of our Forefathers to Virtue.

Ὦ παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, | 246
αὐτὸ μηνύει τὸ νῦν παρόν· ἡμῖν δὲ ἐξὸν ζῆν D
μὴ καλῶς, καλῶς αἱρούμεθα μᾶλλον τελευτᾶν,
πρὶν ὑμᾶς τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη κατα-
στῆσαι καὶ πρὶν τοὺς ἡμετέρους πατέρας καὶ
πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι, ἡγούμενοι τῷ
τοὺς αὑτοῦ αἰσχύνοντι ἀβίωτον εἶναι, καὶ τῷ
τοιούτῳ οὔτε τινὰ ἀνθρώπων οὔτε θεῶν φίλον
εἶναι οὔτ' ἐπὶ γῆς οὔθ' ὑπὸ γῆς τελευτήσαντι.

246 χρὴ οὖν μεμνημένους τῶν ἡμετέρων λόγων, ἐάν
E τι καὶ ἄλλο | ἀσκῆτε, ἀσκεῖν μετ' ἀρετῆς, εἰδό-
τας ὅτι τούτου λειπόμενα πάντα, καὶ κτήματα
καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ κακά. οὔτε γὰρ
πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ μετ'
ἀνανδρίας (ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ καὶ
οὐχ ἑαυτῷ), οὔτε σώματος κάλλος καὶ ἰσχὺς
δειλῷ καὶ κακῷ ξυνοικοῦντα πρέποντα φαίνεται
ἀλλ' ἀπρεπῆ, καὶ ἐπιφανέστερον ποιεῖ τὸν
ἔχοντα καὶ ἐκφαίνει τὴν δειλίαν· πᾶσά τε
247 ἐπιστήμη χωριζομένη δικαιοσύνης | καὶ τῆς
ἄλλης ἀρετῆς πανουργία, οὐ σοφία, φαίνεται.
ὧν ἕνεκα καὶ πρῶτον καὶ ὕστατον καὶ διὰ
παντὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθε
ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ
ἡμᾶς καὶ τοὺς πρόσθεν εὐκλείᾳ· εἰ δὲ μή, * * *
ἴστε ὡς ἡμῖν, ἂν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ
νίκη αἰσχύνην φέρει, ἡ δὲ ἧττα, ἐὰν ἡττώμεθα,
εὐδαιμονίαν. μάλιστα δ' ἂν ἡττῴμεθα καὶ
ὑμεῖς νικῴητε, εἰ παρασκευάσαισθε τῇ τῶν
B προγόνων δόξῃ μὴ καταχρησόμενοι | μηδ' ἀναλώ-
σοντες αὐτήν, γνόντες ὅτι ἀνδρὶ οἰομένῳ τι
εἶναι οὐκ ἔστιν αἴσχιον οὐδὲν ἢ παρέχειν
ἑαυτὸν τιμώμενον μὴ δι' ἑαυτὸν ἀλλὰ διὰ
δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων
ἐκγόνοις καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής·
χρῆσθαι δὲ καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ,
καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ
ἄνανδρον, ἀπορίᾳ ἰδίων αὑτοῦ κτημάτων τε καὶ
εὐδοξιῶν. καὶ ἐὰν μὲν ταῦτα ἐπιτηδεύσητε,
C φίλοι παρὰ | φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν ὑμᾶς

ἡ προσήκουσα μοῖρα κομίσῃ· ἀμελήσαντας δὲ 247
ὑμᾶς καὶ κακισθέντας οὐδεὶς εὐμενῶς ὑποδέξεται.
τοῖς μὲν οὖν παισὶ ταῦτ' εἰρήσθω.

ALCIBIADES I

Not Walls, but Virtue, the Need of the State.

ΣΩ. Οὐκ ἄρα τειχῶν οὐδὲ τριήρων οὐδὲ 134
νεωρίων δέονται αἱ πόλεις, ὦ 'Αλκιβιάδη, εἰ B
μέλλουσιν εὐδαιμονήσειν, οὐδὲ πλήθους οὐδὲ
μεγέθους ἄνευ ἀρετῆς.

ΑΛ. Οὐ μέντοι.

ΣΩ. Εἰ δὴ μέλλεις τὰ τῆς πόλεως πράξειν
ὀρθῶς καὶ καλῶς, ἀρετῆς σοι μεταδοτέον | τοῖς C
πολίταις.

ΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Δύναιτο δ' ἄν τις μεταδιδόναι ὃ μὴ ἔχει;

ΑΛ. Καὶ πῶς;

ΣΩ. Αὐτῷ ἄρα σοὶ πρῶτον κτητέον ἀρετήν, καὶ ἄλλῳ ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὑτοῦ τε καὶ τῶν αὑτοῦ ἄρξειν καὶ ἐπιμελήσεσθαι, ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως.

ΑΛ. 'Αληθῆ λέγεις.

Without Virtue, we had better have a Master.

Πρὶν δέ γε ἀρετὴν ἔχειν, τὸ ἄρχεσθαι ἄμει- 135
νον ὑπὸ τοῦ βελτίονος ἢ τὸ ἄρχειν ἀνδρί, οὐ B
μόνον παιδί.

PROTAGORAS

The Care paid to Virtue in Greek Schooling.

325 Ἐκ παίδων σμικρῶν ἀρξάμενοι, μέχρι οὗπερ
ἂν ζῶσι, καὶ διδάσκουσι καὶ νουθετοῦ-
Virtue inculcated in the home,
σιν. ἐπειδὰν θᾶττον συνιῇ τις τὰ
λεγόμενα, καὶ τροφὸς καὶ μήτηρ καὶ
παιδαγωγὸς καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου
D διαμάχονται, ὅπως | <ὡς> βέλτιστος ἔσται ὁ
παῖς, παρ᾽ ἕκαστον καὶ ἔργον καὶ λόγον διδά-
σκοντες καὶ ἐνδεικνύμενοι ὅτι τὸ μὲν δίκαιον,
τὸ δὲ ἄδικον, καὶ τόδε μὲν καλόν, τόδε δὲ
αἰσχρόν, καὶ τόδε μὲν ὅσιον, τόδε δὲ ἀνόσιον,
καὶ τὰ μὲν ποίει, τὰ δὲ μὴ ποίει. καὶ ἐὰν
μὲν ἑκὼν πείθηται,—εἰ δὲ μή, ὥσπερ ξύλον
διαστρεφόμενον καὶ καμπτόμενον εὐθύνουσιν
ἀπειλαῖς καὶ πληγαῖς. μετὰ δὲ ταῦτα εἰς
διδασκάλων πέμποντες πολὺ μᾶλλον ἐντέλ-
λονται ἐπιμελεῖσθαι εὐκοσμίας τῶν
in the schools,
E παίδων ἢ | γραμμάτων τε καὶ κιθαρί-
σεως· οἱ δὲ διδάσκαλοι τούτων τε ἐπιμελοῦνται,
καὶ ἐπειδὰν αὖ γράμματα μάθωσιν καὶ μέλ-
λωσιν συνήσειν τὰ γεγραμμένα, ὥσπερ τότε
τὴν φωνήν, παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βά-
θρων ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα
καὶ ἐκμανθάνειν ἀναγκάζουσιν, ἐν οἷς πολλαὶ
326 μὲν νουθετήσεις | ἔνεισιν, πολλαὶ δὲ διέξοδοι
καὶ ἔπαινοι καὶ ἐγκώμια παλαιῶν ἀνδρῶν ἀγα-
θῶν, ἵνα ὁ παῖς ζηλῶν μιμῆται καὶ ὀρέγηται
τοιοῦτος γενέσθαι. οἵ τ᾽ αὖ κιθαρισταὶ ἕτερα

τοιαῦτα σωφροσύνης τε ἐπιμελοῦνται καὶ ὅπως 326
ἂν οἱ νέοι μηδὲν κακουργῶσιν· πρὸς δὲ τούτοις,
ἐπειδὰν κιθαρίζειν μάθωσιν, ἄλλων αὖ ποιητῶν
ἀγαθῶν ποιήματα διδάσκουσι | μελοποιῶν, εἰς B
τὰ κιθαρίσματα ἐντείνοντες, καὶ τοὺς ῥυθμούς
τε καὶ τὰς ἁρμονίας ἀναγκάζουσιν οἰκειοῦσθαι
ταῖς ψυχαῖς τῶν παίδων, ἵνα ἡμερώτεροί τε
ὦσιν, καὶ εὐρυθμότεροι καὶ εὐαρμοστότεροι
γιγνόμενοι χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ
πράττειν· πᾶς γὰρ ὁ βίος τοῦ ἀνθρώπου εὐρυθ-
μίας τε καὶ εὐαρμοστίας δεῖται. ἔτι τοίνυν
πρὸς τούτοις εἰς παιδοτρίβου πέμ-
πουσιν, ἵνα τὰ σώματα βελτίω
ἔχοντες ὑπηρετῶσι τῇ διανοίᾳ χρηστῇ | οὔσῃ, C
καὶ μὴ ἀναγκάζωνται ἀποδειλιᾶν διὰ τὴν
πονηρίαν τῶν σωμάτων καὶ ἐν τοῖς πολέμοις
καὶ ἐν ταῖς ἄλλαις πράξεσιν· καὶ ταῦτα
ποιοῦσιν οἱ μάλιστα δυνάμενοι <μάλιστα>·
μάλιστα δὲ δύνανται οἱ πλουσιώτατοι· καὶ οἱ
τούτων ὑεῖς, πρῳαίτατα εἰς διδασκάλων τῆς
ἡλικίας ἀρξάμενοι φοιτᾶν, ὀψιαίτατα ἀπαλ-
λάττονται. ἐπειδὰν δὲ ἐκ διδασκάλων ἀπαλ-
λαγῶσιν, ἡ πόλις αὖ τούς τε νόμους
ἀναγκάζει μανθάνειν καὶ κατὰ τού-
τους | ζῆν [κατὰ παράδειγμα], ἵνα μὴ αὐτοὶ D
ἐφ' αὑτῶν εἰκῇ πράττωσιν, ἀλλ' ἀτεχνῶς ὥσπερ
οἱ γραμματισταὶ τοῖς μήπω δεινοῖς γράφειν
τῶν παίδων ὑπογράψαντες γραμμὰς τῇ γραφίδι
οὕτω τὸ γραμματεῖον διδόασιν καὶ ἀναγκάζουσι
γράφειν κατὰ τὴν ὑφήγησιν τῶν γραμμῶν, ὣς
δὲ καὶ ἡ πόλις νόμους ὑπογράψασα, ἀγαθῶν

in the gymnasium,

and in the State.

326 καὶ παλαιῶν νομοθετῶν εὑρήματα, κατὰ τούτους ἀναγκάζει καὶ ἄρχειν καὶ ἄρχεσθαι· ὃς δ' ἂν ἐκτὸς βαίνῃ τούτων, κολάζει, καὶ ὄνομα τῇ κολάσει ταύτῃ καὶ παρ' ὑμῖν καὶ ἄλλοθι
E πολλαχοῦ, ὡς εὐθυνούσης | τῆς δίκης, εὐθῦναι. τοσαύτης οὖν τῆς ἐπιμελείας οὔσης περὶ ἀρετῆς ἰδίᾳ καὶ δημοσίᾳ, θαυμάζεις, ὦ Σώκρατες, καὶ ἀπορεῖς, εἰ διδακτόν ἐστιν ἀρετή; ἀλλ' οὐ χρὴ θαυμάζειν, ἀλλὰ πολὺ μᾶλλον, εἰ μὴ διδακτόν.

BRIEFER EXTRACTS

Orphaned Philosophy married by the bald-headed little Tinker.

(*Republic VI.*)

495 Οὗτοι μὲν δὴ οὕτως ἐκπίπτοντες, οἷς μά-
C λιστα | προσήκει, ἔρημον καὶ ἀτελῆ φιλοσοφίαν λείποντες αὐτοί τε βίον οὐ προσήκοντα οὐδ' ἀληθῆ ζῶσιν, τὴν δέ, ὥσπερ ὀρφανὴν ξυγγενῶν, ἄλλοι ἐπεισελθόντες ἀνάξιοι ᾔσχυνάν τε καὶ ὀνείδη περιῆψαν, οἷα καὶ σὺ φῂς ὀνειδίζειν τοὺς ὀνειδίζοντας, ὡς οἱ ξυνόντες αὐτῇ οἱ μὲν οὐδενός, οἱ δὲ πολλοὶ πολλῶν κακῶν ἄξιοί εἰσιν. Καὶ γὰρ οὖν, ἔφη, τά γε λεγόμενα ταῦτα. Εἰκότως γε, ἦν δ' ἐγώ, λεγόμενα. καθορῶντες γὰρ ἄλλοι ἀνθρωπίσκοι κενὴν τὴν χώραν ταύτην γιγνομένην, καλῶν δὲ ὀνομάτων
D καὶ προσχημάτων | μεστήν, ὥσπερ οἱ ἐκ τῶν εἱργμῶν εἰς τὰ ἱερὰ ἀποδιδράσκοντες ἄσμενοι καὶ οὗτοι ἐκ τῶν τεχνῶν ἐκπηδῶσιν εἰς τὴν

φιλοσοφίαν, οἳ ἂν κομψότατοι ὄντες τυγχάνωσι 495
περὶ τὸ αὑτῶν τεχνίον. ὅμως γὰρ δὴ πρός γε
τὰς ἄλλας τέχνας καίπερ οὕτω πραττούσης
φιλοσοφίας τὸ ἀξίωμα μεγαλοπρεπέστερον
λείπεται· οὗ δὴ ἐφιέμενοι πολλοὶ ἀτελεῖς μὲν
τὰς φύσεις, ὑπὸ δὲ τῶν τεχνῶν τε καὶ δημι-
ουργιῶν ὥσπερ τὰ σώματα λελώβηνται, οὕτω
καὶ τὰς | ψυχὰς ξυγκεκλασμένοι τε καὶ ἀποτε- E
θρυμμένοι διὰ τὰς βαναυσίας τυγχάνουσιν—ἢ
οὐκ ἀνάγκη; Καὶ μάλα, ἔφη. Δοκεῖς οὖν τι,
ἦν δ' ἐγώ, διαφέρειν αὐτοὺς ἰδεῖν ἀργύριον
κτησαμένου χαλκέως φαλακροῦ καὶ σμικροῦ,
νεωστὶ μὲν ἐκ δεσμῶν λελυμένου, ἐν βαλανείῳ
δὲ λελουμένου, νεουργὸν ἱμάτιον ἔχοντος, ὡς
νυμφίου παρεσκευασμένου, διὰ πενίαν καὶ
ἐρημίαν τοῦ δεσπότου τὴν θυγατέρα μέλλοντος
γαμεῖν; Οὐ | πάνυ, ἔφη, διαφέρει. Ποῖ' ἄττα 496
οὖν εἰκὸς γεννᾶν τοὺς τοιούτους; οὐ νόθα καὶ
φαῦλα; Πολλὴ ἀνάγκη. Τί δέ; τοὺς ἀνα-
ξίους παιδεύσεως, ὅταν αὐτῇ πλησιάζοντες
ὁμιλῶσι μὴ κατ' ἀξίαν, ποῖ' ἄττα φῶμεν
γεννᾶν διανοήματά τε καὶ δόξας; ἆρ' οὐχ ὡς
ἀληθῶς προσήκοντα ἀκοῦσαι σοφίσματα, καὶ
οὐδὲν γνήσιον οὐδὲ φρονήσεως [ἄξιον] ἀληθινῆς
ἐχόμενον; Παντελῶς μὲν οὖν, ἔφη.

The Philosopher under the Wall.

(*Republic VI.*)

Καὶ τούτων δὴ τῶν ὀλίγων οἱ γενόμενοι 496
καὶ γευσάμενοι ὡς ἡδὺ καὶ μακάριον τὸ κτῆμα, C
καὶ τῶν πολλῶν αὖ ἱκανῶς ἰδόντες τὴν μανίαν,

496 καὶ ὅτι οὐδεὶς οὐδὲν ὑγιὲς ὡς ἔπος εἰπεῖν περι
τὰ τῶν πόλεων πράττει, οὐδ᾽ ἔστι ξύμμαχος,
D μεθ᾽ ὅτου τις ἰὼν ἐπὶ | τὴν τῷ δικαίῳ βοή-
θειαν σῴζοιτ᾽ ἄν, ἀλλ᾽ ὥσπερ εἰς θηρία
ἄνθρωπος ἐμπεσών, οὔτε ξυναδικεῖν ἐθέλων
οὔτε ἱκανὸς ὢν εἷς πᾶσιν ἀγρίοις ἀντέχειν,
πρίν τι τὴν πόλιν ἢ φίλους ὀνῆσαι προαπολό-
μενος ἀνωφελὴς αὑτῷ τε καὶ τοῖς ἄλλοις ἂν
γένοιτο, ταῦτα πάντα λογισμῷ λαβὼν ἡσυχίαν
ἔχων καὶ τὰ αὑτοῦ πράττων, οἷον ἐν χειμῶνι
κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου
ὑπὸ τειχίον ἀποστάς, ὁρῶν τοὺς ἄλλους κατα-
πιμπλαμένους ἀνομίας ἀγαπᾷ, εἴ πῃ αὐτὸς
E καθαρὸς ἀδικίας τε | καὶ ἀνοσίων ἔργων τόν τε
ἐνθάδε βίον βιώσεται καὶ τὴν ἀπαλλαγὴν
αὐτοῦ μετὰ καλῆς ἐλπίδος ἵλεώς τε καὶ εὐ-
μενὴς ἀπαλλάξεται. Ἀλλά τοι, ἦ δ᾽ ὅς, οὐ
497 τὰ ἐλάχιστα ἂν | διαπραξάμενος ἀπαλλάττοιτο.
Οὐδέ γε, εἶπον, τὰ μέγιστα, μὴ τυχὼν πολι-
τείας προσηκούσης· ἐν γὰρ προσηκούσῃ αὐτός
τε μᾶλλον αὐξήσεται καὶ μετὰ τῶν ἰδίων τὰ
κοινὰ σώσει.

The kicking, butting Herd.

(*Republic IX.*)

586 Οἱ ἄρα φρονήσεως καὶ ἀρετῆς ἄπειροι,
A εὐωχίαις | δὲ καὶ τοῖς τοιούτοις ἀεὶ ξυνόντες,
κάτω, ὡς ἔοικεν, καὶ μέχρι πάλιν πρὸς τὸ
μεταξὺ φέρονταί τε καὶ ταύτῃ πλανῶνται διὰ
βίου, ὑπερβάντες δὲ τοῦτο πρὸς τὸ ἀληθῶς
ἄνω οὔτε ἀνέβλεψαν πώποτε οὔτε ἠνέχθησαν,

οὐδὲ τοῦ ὄντος τῷ ὄντι ἐπληρώθησαν, οὐδὲ 586
βεβαίου τε καὶ καθαρᾶς ἡδονῆς ἐγεύσαντο,
ἀλλὰ βοσκημάτων δίκην κάτω ἀεὶ βλέποντες
καὶ κεκυφότες εἰς γῆν καὶ εἰς τραπέζας βό-
σκονται χορταζόμενοι . . ., καὶ ἕνεκα | τῆς τούτων B
πλεονεξίας λακτίζοντες καὶ κυρίττοντες ἀλλή-
λους σιδηροῖς κέρασί τε καὶ ὁπλαῖς ἀπο-
κτιννύασι δι' ἀπληστίαν, ἅτε οὐχὶ τοῖς οὖσιν
οὐδὲ τὸ ὂν οὐδὲ τὸ στέγον ἑαυτῶν πιμπλάντες.
Παντελῶς, ἔφη ὁ Γλαύκων, τὸν τῶν πολλῶν,
ὦ Σώκρατες, χρησμῳδεῖς βίον.

The purging Effect of Dialectic.

(*Sophistes.*)

ΞΕΝΟΣ. Διερωτῶσιν ὧν ἂν οἴηταί τίς τι 230
πέρι λέγειν λέγων μηδέν· εἶθ' ἅτε πλανωμένων B
τὰς δόξας ῥᾳδίως ἐξετάζουσι, καὶ συνάγοντες δὴ
τοῖς λόγοις εἰς ταὐτὸν τιθέασι παρ' ἀλλήλας,
τιθέντες δὲ ἐπιδεικνύουσιν αὐτὰς αὑταῖς ἅμα
περὶ τῶν αὐτῶν πρὸς τὰ αὐτὰ κατὰ ταὐτὰ
ἐναντίας· οἱ δ' ὁρῶντες ἑαυτοῖς μὲν χαλεπαί-
νουσι, πρὸς δὲ τοὺς ἄλλους ἡμεροῦνται, καὶ
τούτῳ δὴ τῷ τρόπῳ τῶν περὶ αὑτοὺς μεγάλων
καὶ | σκληρῶν δοξῶν ἀπαλλάττονται πασῶν C
ἀπαλλαγῶν ἀκούειν τε ἡδίστην καὶ τῷ πάσχοντι
βεβαιότατα γιγνομένην. νομίζοντες γάρ, ὦ
παῖ φίλε, οἱ καθαίροντες αὐτούς, ὥσπερ οἱ
περὶ τὰ σώματα ἰατροὶ νενομίκασι μὴ πρότερον
ἂν τῆς προσφερομένης τροφῆς ἀπολαύειν
δύνασθαι σῶμα, πρὶν ἂν τὰ ἐμποδίζοντα ἐν
αὐτῷ τις ἐκβάλῃ, ταὐτὸν καὶ περὶ ψυχῆς

230 διενοήθησαν ἐκεῖνοι, μὴ πρότερον αὐτὴν ἕξειν
τῶν προσφερομένων μαθημάτων ὄνησιν, πρὶν |
D ἂν ἐλέγχων τις τὸν ἐλεγχόμενον εἰς αἰσχύνην
καταστήσας, τὰς τοῖς μαθήμασιν ἐμποδίους
δόξας ἐξελών, καθαρὸν ἀποφήνῃ καὶ ταῦτα
ἡγούμενον, ἅπερ οἶδεν, εἰδέναι μόνα, πλείω δὲ μή.

ΘΕΑΙΤΗΤΟΣ. Βελτίστη γοῦν καὶ σωφρονεστάτη τῶν ἕξεων αὕτη.

ΞΕ. Διὰ ταῦτα δὴ πάντα ἡμῖν, ὦ Θεαίτητε,
καὶ τὸν ἔλεγχον λεκτέον ὡς ἄρα μεγίστη καὶ
κυριωτάτη τῶν καθάρσεών ἐστι, καὶ τὸν
ἀνέλεγκτον αὖ νομιστέον, ἂν καὶ τυγχάνῃ
βασιλεὺς ὁ μέγας ὤν, τὰ μέγιστα ἀκάθαρτον |
E ὄντα, ἀπαίδευτόν τε καὶ αἰσχρὸν γεγονέναι
ταῦτα, ἃ καθαρώτατον καὶ κάλλιστον ἔπρεπε
τὸν ὄντως ἐσόμενον εὐδαίμονα εἶναι.

ΘΕΑΙ. Παντάπασι μὲν οὖν.

Misanthropy and Misology.

(*Phaedo.*)

89 Ἀλλὰ πρῶτον εὐλαβηθῶμέν τι πάθος μὴ
πάθωμεν. Τὸ ποῖον; ἦν δ' ἐγώ. Μὴ γενώ-
D μεθα, ἦ δ' ὅς, μισόλογοι, | ὥσπερ οἱ μισάν-
θρωποι γιγνόμενοι· ὡς οὐκ ἔστιν, ἔφη, ὅ τι ἄν
τις μεῖζον τούτου κακὸν πάθοι—ἢ λόγους
μισήσας. γίγνεται δὲ ἐκ τοῦ αὐτοῦ τρόπου
μισολογία τε καὶ μισανθρωπία. ἥ τε γὰρ
μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα τινὶ
πιστεῦσαι ἄνευ τέχνης, καὶ ἡγήσασθαι παντάπασί τε ἀληθῆ εἶναι καὶ ὑγιῆ καὶ πιστὸν τὸν
ἄνθρωπον, ἔπειτα ὀλίγον ὕστερον εὑρεῖν τοῦτον

πονηρόν τε καὶ ἄπιστον καὶ αὖθις ἕτερον· καὶ 89
ὅταν τοῦτο πολλάκις πάθῃ τις καὶ ὑπὸ τούτων
μάλιστα, οὓς ἂν ἡγήσαιτο οἰκειοτάτους τε καὶ
ἑταιροτάτους, τελευτῶν | δὴ θαμὰ προσκρούων E
μισεῖ τε πάντας καὶ ἡγεῖται οὐδενὸς οὐδὲν
ὑγιὲς εἶναι τὸ παράπαν. ἢ οὐκ ᾔσθησαι σὺ
τοῦτο γιγνόμενον; Πάνυ γε, ἦν δ' ἐγώ.

The ultimate Value of Physical Science.

(*Timaeus.*)

Διὸ δὴ χρὴ δύ' αἰτίας εἴδη διορίζεσθαι, τὸ 68
μὲν ἀναγκαῖον, τὸ δὲ θεῖον, καὶ τὸ μὲν θεῖον ἐν E
ἅπασι ζητεῖν κτήσεως ἕνεκα εὐδαίμονος βίου,
καθ' ὅσον ἡμῶν ἡ φύσις | ἐνδέχεται, τὸ δὲ 69
ἀναγκαῖον ἐκείνων χάριν, λογιζομένους, ὡς ἄνευ
τούτων οὐ δυνατὰ αὐτὰ ἐκεῖνα, ἐφ' οἷς
σπουδάζομεν, μόνα κατανοεῖν οὐδ' αὖ λαβεῖν
οὐδ' ἄλλως πως μετασχεῖν.

Learning must be Play.

(*Republic VII.*)

Οὐδὲν μάθημα | μετὰ δουλείας τὸν ἐλεύθερον 536
χρὴ μανθάνειν. οἱ μὲν γὰρ τοῦ σώματος E
πόνοι βίᾳ πονούμενοι χεῖρον οὐδὲν τὸ σῶμα
ἀπεργάζονται, ψυχῇ δὲ βίαιον οὐδὲν ἔμμονον
μάθημα. Ἀληθῆ, ἔφη. Μὴ τοίνυν βίᾳ, εἶπον,
ὦ ἄριστε, τοὺς παῖδας ἐν τοῖς μαθήμασιν
ἀλλὰ παίζοντας | τρέφε, ἵνα καὶ μᾶλλον οἷός τ' 537
ἦς καθορᾶν ἐφ' ὃ ἕκαστος πέφυκεν. Ἔχει ὃ
λέγεις, ἔφη, λόγον.

Wonder the Beginning of Wisdom.

(*Theaetetus.*)

155 D | ΣΩ. Θεόδωρος γάρ, ὦ φίλε, φαίνεται οὐ κακῶς τοπάζειν περὶ τῆς φύσεώς σου. μάλα γὰρ φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν· οὐ γὰρ ἄλλη ἀρχὴ φιλοσοφίας ἢ αὕτη, καὶ ἔοικεν ὁ τὴν Ἶριν Θαύμαντος ἔκγονον φήσας οὐ κακῶς γενεαλογεῖν.

Your solid Materialist believes only what he touches.

(*Theaetetus.*)

155 E ΣΩ. Ἄθρει δὴ περισκοπῶν, μή τις τῶν ἀμυήτων ἐπακούῃ. εἰσὶν δὲ οὗτοι οἱ οὐδὲν ἄλλο οἰόμενοι εἶναι ἢ οὗ ἂν δύνωνται ἀπρὶξ τοῖν χεροῖν λαβέσθαι, πράξεις δὲ καὶ γενέσεις καὶ πᾶν τὸ ἀόρατον οὐκ ἀποδεχόμενοι ὡς ἐν οὐσίας μέρει.

ΘΕΑΙ. Καὶ μὲν δή, ὦ Σώκρατες, σκληρούς
156 γε λέγεις καὶ | ἀντιτύπους ἀνθρώπους.

ΣΩ. Εἰσὶν γάρ, ὦ παῖ, μάλ' εὖ ἄμουσοι.

Need of Exercise for Mind, as for Body.

(*Theaetetus.*)

153 B ΣΩ. Τί δέ; ἡ τῶν σωμάτων ἕξις οὐχ ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας διόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεων ἐπὶ τὸ πολὺ σῴζεται;

ΘΕΑΙ. Ναί.

ΣΩ. Ἡ δ' ἐν τῇ ψυχῇ ἕξις οὐχ ὑπὸ μαθή-

σεως μὲν καὶ μελέτης, κινήσεων ὄντων, κτᾶταί 153
τε μαθήματα καὶ σῴζεται καὶ γίγνεται βελτίων, ὑπὸ δ' ἡσυχίας, ἀμελετησίας τε καὶ ἀμαθίας οὔσης, οὔτε τι μανθάνει ἅ τε ἂν μάθῃ ἐπιλανθάνεται;

ΘΕΑΙ. | Καὶ μάλα. C

Don't be a Pedant.

(*Theaetetus.*)

ΣΩ. Τὸ δὲ εὐχερὲς τῶν | ὀνομάτων τε καὶ 184
ῥημάτων καὶ μὴ δι' ἀκριβείας ἐξεταζόμενον τὰ C
μὲν πολλὰ οὐκ ἀγεννές, ἀλλὰ μᾶλλον τὸ τούτου ἐναντίον ἀνελεύθερον, ἔστι δὲ ὅτε ἀναγκαῖον, οἷον καὶ νῦν ἀνάγκη ἐπιλαβέσθαι τῆς ἀποκρίσεως ἣν ἀποκρίνει, ᾗ οὐκ ὀρθή.

Nor over-anxious about mere Words.

(*Politicus.*)

Ἂν διαφυλάξῃς τὸ μὴ σπουδάζειν ἐπὶ τοῖς 261
ὀνόμασι, πλουσιώτερος εἰς τὸ γῆρας ἀναφανήσει E
φρονήσεως.

The would-be Poet.

(*Phaedrus.*)

Ὃς δ' ἂν ἄνευ μανίας Μουσῶν ἐπὶ ποιη- 245
τικὰς θύρας ἀφίκηται, πεισθεὶς ὡς ἄρα ἐκ A
τέχνης ἱκανὸς ποιητὴς ἐσόμενος, ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις ὑπὸ τῆς τῶν μαινομένων ἡ τοῦ σωφρονοῦντος ἠφανίσθη.

True Object of Punishment.

(*Protagoras.*)

324 Οὐδεὶς γὰρ κολάζει τοὺς ἀδικοῦντας πρὸς
B τούτῳ τὸν νοῦν ἔχων καὶ | τούτου ἕνεκα, ὅτι ἠδίκησεν, ὅστις μὴ ὥσπερ θηρίον ἀλογίστως τιμωρεῖται· ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν κολάζειν οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται (οὐ γὰρ ἂν τό γε πραχθὲν ἀγένητον θείη), ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ μήτε αὐτὸς οὗτος μήτε ἄλλος ὁ τοῦτον ἰδὼν κολασθέντα.

The Great W's: Well, Wealthy, and Wise.

(*Laws.*)

743 Χρημάτων ἐπιμέλειαν οὐχ ἅπαξ εἰρήκαμεν
E ὡς χρὴ τελευταῖον τιμᾶν· ὄντων γὰρ τριῶν τῶν ἁπάντων, περὶ ἃ πᾶς ἄνθρωπος σπουδάζει, τελευταῖον καὶ τρίτον ἐστὶν ἡ τῶν χρημάτων ὀρθῶς σπουδαζομένη σπουδή, σώματος δὲ πέρι μέση, πρώτη δὲ ἡ τῆς ψυχῆς.

Truth the Beginning of all Good.

(*Laws.*)

730 Ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς
B ἡγεῖται, πάντων δὲ ἀνθρώποις· ἧς ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὡς πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιῷ.

Self-love a False Shame.

(Laws.)

Πάντα ἄνθρωπον χρὴ φεύγειν τὸ σφόδρα 732
φιλεῖν αὑτόν, τὸν δ' ἑαυτοῦ βελτίω διώκειν B
ἀεί, μηδεμίαν αἰσχύνην ἐπὶ τῷ τοιούτῳ πρόσθεν
ποιούμενον.

The Useful is the Noble.

(Republic.)

Κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται καὶ 457
λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ B
βλαβερὸν αἰσχρόν.

Faint Heart never won Fair Lady.

(Critias.)

'Αλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οὔπω τρό- 108
παιον ἔστησαν, ὦ Κριτία. C

Quality, not Quantity.

(Theaetetus.)

Κρεῖττον γάρ που σμικρὸν εὖ ἢ πολὺ μὴ 187
ἱκανῶς περᾶναι. E

A Man's Soul.

(Laws.)

Πάντων γὰρ τῶν αὑτοῦ κτημάτων μετὰ 726
θεοὺς ψυχὴ θειότατον, οἰκειότατον ὄν. A

Fair Play in the Race for Excellence.

(Laws).

Φιλονικείτω δὲ ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθό- 731
νως. A

NOTES

G. = Goodwin's *Greek Grammar* (revised edition, 1893).
H. = Hadley's *Greek Grammar* (revised by Allen, 1884).
(These are cited by the section-numbers.)
L. & S. = Liddell and Scott's *Greek-English Lexicon*, seventh edition.
G. M. T. = Goodwin's *Greek Moods and Tenses*, enlarged edition.

References such as 36,17 are to page and line of the present volume.

The figures down the outer margin of the notes refer to the paging of the text; those before each note give the line of the page. The heavy-faced figures and letters at the head of each paragraph (and on the outer margin of the Greek text) give the paging and its five divisions of the edition of Plato in three volumes published by Henri Estienne (Latin, *Stephanus*) in Paris, 1578.

APOLOGY

The *Apology* reads as the defence spoken by Socrates when on trial at the age of seventy before an Athenian court on the charge of impiety. Is it that defence? The unanimous answer of scholars, and for sufficient reasons, is—no. How nearly does it reproduce that real defence? Here, opinions differ widely. Written "when the words of Socrates were still fresh in his memory," says one; "in *substance* the real defence," says another; "*not* the real speech of Socrates, but a *free creation* of Plato's," still a third. All agree that it "sounds like Socrates." But the reason for this is as well explained from the third as from the first point of view. Hamlet's soliloquy sounds strikingly like Hamlet. And the reason is obvious.

Further, if we recall the ideals of literary creation in Plato's time and race, and recall that Plato was the idealist of idealists (literalism, stenography, footnote references, and all such

belonging to a later unhappy age), we must incline to the notion not only that Plato is not here a verbatim reporter, but that he of all men was incapable of being such, or approximately such. Giotto drew his circle with a free hand ; if he had undertaken it with a string-radius, he probably would have bungled. To Rubinstein playing Beethoven's music, the *notes* could have been but a hindrance. To picture Plato seated as court-reporter, or as a writer of memoirs is utterly distasteful and belittling. Nor is such a view necessary to preserve the greatness or the truth of the Socratic picture. Plato, if any man (recall his theory of Ideas), knew that the characteristic alone is true, while the actual is often aberration and untruth. A man is sometimes not himself—quite conceivably not himself on a trial involving life or death. Therefore it is that the words here put into the mouth of Socrates may be more truly the words of Socrates than those he actually uttered. "We have the whole of Socrates summed up ; the search after knowledge, the interrogation of all persons pretending to have knowledge, the negative result, the irony, the indifference to popular opinion, the offence taken by those whose ignorance is exposed or their opinion despised, the dauntless courage, the almost defiance of those who administer the law as compared with the law itself" (Purves).

It has been almost certainly proved that the piece is one of Plato's earlier writings, composed not many years after the death of his master. The latest and most exhaustive discussion of its composition and of its relation to the writings of Xenophon and others for and against Socrates is to be found in Schanz's edition of 1893.

1 **17 A** 1. **ὅ τι μὲν ὑμεῖς . . πεπόνθατε** 'how *you* have been affected'; 'you' emphatic, because *ὑμεῖς* is expressed. **πεπόνθατε ὑπὸ . . κατηγόρων** : for *ὑπό* c. gen. of the agent after intrans. verbs (as *πάσχω, ἀποθνήσκω, ἀπόλλυμαι, γίγνομαι, φεύγω*), see H. 820, G. 1241. It is used also with quasi-passive expressions such as *αἰτίαν ἔχειν* 'to be blamed' (36,17), *δίκην ὀφλεῖν* 'to be cast in a suit' (37,28). Often it may be rendered by 'at the hands of,' 'by reason of.' 3. **δ' οὖν** '(but) certainly,' 'at all events,' regularly vouches for the truth of what follows, be the preceding true or not. (Or, secondly, it marks resumption of some previous matter, after a longer or shorter digression.) As the collocation is a fixed one, it might well be written as one word, *δοῦν*. Cf. *γοῦν* (from *γε οὖν*), *μῶν* (*μὴ οὖν*), *γάρ* (*γε ἄρα*). **καὶ αὐτός** 'likewise' (lit. 'even myself'; see n. on 3,1). **ὑπ' αὐτῶν** : *ὑπό*, as above, with agent of the intrans. verb *ἐπ-ελαθόμην* ('was made to forget myself'). 4. **ὀλίγου** was perhaps originally a gen. of the time *within which* (H. 759, G. 1136) ; 'within a little

(=almost) I had forgotten myself.' (For the usu. explanation 1
—an ellipsis of the infin. absolute δεῖν, 'lacking little,' see H. 743 b, G. 1116 b.) 5. **καίτοι** 'and mark you' (τοι=σοί, an ethical dat.) continues the matter in hand (καί), yet introduces a noteworthy (τοι) consideration usually *at variance* with what has preceded. Transl. 'and yet,' 'although.' 6. **ὡς ἔπος εἰπεῖν** (an infin. absolute, i.e. *absolved* from construction in the sent.) qualifies here the too sweeping negat. οὐδέν; 'almost,' 'about.' H. 956, G. 1534. Cf. ὀλίγου (li. 4). 7. **αὐτῶν ἓν ἐθαύμασα**: αὐτῶν is best taken, not with ἕν, but directly with the verb; '*in* them'—a sort of gen. of the whole, *within the sphere of which* the verb acts. So G. 1102; *contra* H. 733. 8. **ὧν**: the regular "attract." or "assimilation" of case from acc.; H. 994, G. 1031. **τοῦτο** 'viz., that,' in appos. to ἕν. **ἐν ᾧ** 'where.' 9. **μὴ . . ἐξαπατηθῆτε** 'lest you —.' H. 885 b, G. 1374–75. 10. **ὡς δεινοῦ ὄντος λέγειν** 'because a clever speaker.' ὡς c. ptc. is a form of indir. discourse ('alleging that —,' 'in the belief that —,' 'supposing that —,' 'because,' etc.) marking the thought as that of some one other than the speaker or writer; H. 978, G. 1574. For the infin. λέγειν depending on the adj. δεινός ('clever *as* to speaking'), see H. 952, G. 1526.

17 B 11. **αὐτίκα**: in answer to πην-ίκα (H. 283, G. 436) 'at just what point of time?', αὐτ-ίκα replies 'on the very (αὐτό) instant,' 'at once.' 12. **ἔργῳ**: his poor speech is to be, itself, the 'deed' or 'fact' that will refute them. **μηδ' ὁπωσ-τι-οῦν** 'not in any way whatsoever.' On -τι-οῦν, see H. 285, G. 432,1. 13. **τοῦτο** sums in one word all that precedes, resuming specifically τὸ μὴ αἰσχυνθῆναι. **αὐτῶν** again is '*in* them' (li. 7). 14. **εἰ μὴ ἄρα** 'unless forsooth,' ironical. **δεινὸν . . λέγειν**: when a syntactic unit (as here, 'clever speaker') is broken by intervening words, the part to be emphasized usu. precedes (as here, 'clever'). Attention to this point often offers the key to the sense. 15. **εἰ μὲν γάρ** 'for if *indeed*,' 'for *verily* if,' with no δέ following. μέν not rarely betrays its origin (μήν) and asseverating sense; as in the phrase of assent πάνυ μὲν οὖν ('yes indeed,' 'aye truly'), in μέν-τοι ('surely'), in ἀλλὰ . . μέν ('*at* . . *certe*'), in μὲν δή, and other collocations. 16. **οὐ κατὰ τούτους . . ῥήτωρ**: again the syntactic group is, for emphasis, broken (li. 14); 'I might admit to being a not-in-*their*-line (of *their* measure, after *their* fashion) orator.' κατά means 'down along, and *within*, the line of,' 'in accord with,' 'by the measure of'; while παρά is also 'along, but *outside* of.' Cf. κατὰ τοὺς νόμους, παρὰ τοὺς νόμους; and recall κατὰ τὸν ποταμόν ('down the river-*bed*'), παρὰ τὸν ποταμόν ('along the river-*bank*'). 17. **ὥσπερ ἐγὼ λέγω** 'as I *said*.' The present in such phrases (ὅπερ λέγω, ὡς ἐγώ φημι) is frequent; e.g. 3,30.

1 7,23. 28,19. 18. **ἤ τι ἢ οὐδέν** 'little or nothing.' 19. **ὑμεῖς δ' ἐμοῦ** are both emphatic—*ἐμοῦ* by form, *ὑμεῖς* by position and because expressed at all. The truth is for *you* and *me*; *these* men (*οὗτοι*) have no truth in them. 20. **οὐ μέντοι**: *μέντοι*, from *μήν τοι* ('verily, look you'), at times has only its simple earlier function—that of strong asseveration ('indeed,' 'in truth,' 'surely'), in which usage it is often accompanied by *νὴ Δία*, *μὰ Δία*, etc.; at other times again, it strongly asseverates a *contrast* to the preceding, and so becomes an *adversative conjunction* ('however'). See L. & S. s.v. *μέν*, B II 4, a & b. Cf. n. on *καίτοι*, supra li. 5. **κεκαλλιεπημένους**: *καλλι-επέομαι* 'to make fine phrases' is here pass. (deponents are not rarely so in the perf.); 'beautified.'
2 1. **ῥήμασί τε καὶ ὀνόμασιν** 'phrases and words,' with *κεκαλλιεπημένους*.

